Uebereinstimmung mit Theopomp (fr. 140) befand sich Timaios über die Gabelung des Ister. Dies zeigt uns eine eingehende Interpretation des schwierigen cp. 105 und der sonstigen dazu gehörigen Nachrichten, die mir nur durch Prof. Wilamowitz' gütige Unterstützung gelungen ist. Das Kapitel beginnt mit den Worten: »Es heisst, dass auch der Ister auf dem herkynischen Waldgebirge entspringend sich spalte und teils in den Pontos, teils in den Adrias sich ergiesse. Ein Zeichen aber haben wir nicht nur in unseren Zeiten, sondern besonders auch in denen der Alten gesehen *οἷον τὰ ἐκεῖ ἄπλωτα εἶναι:* mit anderen Worten gerade das Gegenteil dessen, was man als Gegenstand des Beweises erwartet. Der Widerspruch indessen löst sich leicht, wenn man schreibt: *ἀλλὰ καὶ ἐπὶ τῶν ἀρχαίων μᾶλλον οἴονται ἐκεῖνα πλωτὰ εἶναι.*[1]) So ist wenigstens innerhalb des Kapitels selbst eine richtige Gedankenfolge hergestellt: »Der Ister spaltet sich, das wissen wir, das war schon in alter Zeit klar, sonst hätte ja Iason auf seiner Flucht keinen Ausweg gewinnen können; denn durch die Symplegaden ist er nicht gefahren, auf diese passt die homerische Beschreibung (*μ* 67) nicht, sondern nur auf die Plankten in der Meerenge von Messina. Auch hat ja Medea auf einer Adriainsel ein Heiligtum gestiftet, finden sich doch auf Elba in den bunten Steinen noch die *στλεγγίσματα* der Argonauten.« — Timäisch ist hier die Verlegung der Plankten in die Meerenge von Messina, bei Timaios stand die Erklärung der bunten Steine, aber dem ostwestlichen Sinne der Fahrt im Wunderbuche widerspricht Timaios bei Diodor (IV 56) entschieden. Durch den Tanais, heisst es hier, dringen die Argonauten bis zu den Quellen des Flusses, schleppen das Schiff bis zu einem anderen in den Ocean sich ergiessenden Strom und, das Land zur Linken, fahren sie von Norden nach Süden, passiren Gadir und gelangen endlich ins Mittelmeer. Beweis für die Okeanosfahrt ist der Dioskurendienst der Kelten; Spuren der

---

sei, geredet habe. Aber wie war es mit der Quelle Arethusa, hat man nicht lange auch dies Märchen geglaubt?

[1]) Der Wahrheit näherte sich schon, wenn auch noch unmethodisch, Casaubonus mit seiner Conjektur *τοῦ τὰ ἐκεῖ ἄπλωτα μὴ εἶναι.*

Argonauten finden sich im Mittelmeer, Aithaleia mit seinem Argohafen, Telamon, Aietes. Da nun eine Sage die andere auszuschliessen scheint, so kann uns allein eine Uebersicht über die verschiedenen sonstigen Erzählungen Klarheit schaffen. Da lesen wir also

1. Hipparch (Strabon 57) hat den manchen vor ihm eigenen Irrtum geteilt, an die Gabelung des Istros geglaubt, die Argofahrt durch denselben gehen lassen: also hat auch Timaios wol so geurteilt.

2. Auch Kallimachos (Strabon 46), der nicht selten Berührung mit Timaios[1]) zeigt, wusste von der Isterfahrt, er lässt die Kolcher Polai gründen.

3. Apollonios Rhodios im vierten Buche. Hier finden wir Benutzung des Timaios, umfangreicher, als sie bisher angenommen worden ist. Die Scholien mit ihren Citaten deuten schon darauf hin: die Argonauten fahren durch die sicilischen Plankten (vgl. schol. IV 786), nach Timaios, der allein bei schol. IV 984 vorliegt, führt Apollonios beide Versionen des oben schon besprochenen kerkyräischen Mythos an, lässt die Hochzeit Jasons und Medeas auf Kerkyra sich vollziehen (vgl. schol. 1153. 1217), Kolcher sich in Epirus niederlassen (vgl. schol. 1216). Aber wir kommen noch weiter. Auch Timaios' Hyllossage (fr. 42) kehrt IV 538 ff. wieder, und da hier auch von Hyllos' Mutter Melite die Rede ist, so dürfen wir mit Recht darin dieselbe Quelle erkennen. Desgleichen darf 595 ff. die Phaethonsage des Eridanos[2]) mit Timaios in Beziehung gesetzt werden. Wie stellt sich nun Apollonios zur Rückfahrt? Die Helden fahren durch den Ister, dann südwärts, auf weiterer Fahrt wieder nach Norden verschlagen biegen sie in den Eridanos ein, der sie in den Rhodanos führt. Nach ferneren Abenteuern gelangen sie durch einen Rhonearm zu den Stoichaden, gerettet durch die Dioskuren, welche von den Kelten verehrt werden, laufen sie Aitha-

---

[1]) Knaack: *Callimachea* 10. 11.

[2]) Es scheinen andere Züge hereingemischt zu sein. Dass den Eridanos kein Vogel überfliegen kann, ist gewiss nicht timäisch. Die andere Sage der Kelten von Apollos Thränen mag ich darum auch nicht auf Timaios zurückführen. Knaack: *Quaestiones Phaethonteae* 12.

leia an, wo die ἀποστλεγγίσματα und der Argohafen an ihre Anwesenheit erinnern.

4. Strabon 224 (Poseidonios). Bei Aithaleia ist der Argohafen. Dorthin kam, Kirkes Behausung suchend, Iason, weil Medea ihre Tante (ϑείαν Wilam. ϑεὰν vulg.) sehen wollte. Noch sind in den bunten Steinen die Spuren der ἀποστλεγγίσματα erhalten.

Mit dem Wunderbuch zusammengehalten drängen diese Nachrichten geradezu darauf hin, für Timaios die Isterfahrt zu beanspruchen. Aber wie soll man das mit Diodor versöhnen? Ich denke, die Vereinigung ist möglich. Diodor führt die Kunde von der Tanaisfahrt zurück auf einige ältere und neuere Schriftsteller, unter denen auch Timaios sei, d. h. nur durch Timaios wusste Diodor über die Literatur Bescheid. Nach dem Bericht über die Sage folgt dann die Bemerkung (§ 7), die Version von der Isterfahrt dürfe hier nicht unberücksichtigt bleiben, die Zeit habe sie widerlegt, der Krieg der Römer gegen die Istrier Klarheit über die Quellen des Flusses, hinsichtlich derer die Schriftsteller geirrt, verschafft. So gewinnt es den Anschein, dass Diodor beide Versionen, sowol die Isterfahrt als den Exokeanismos der Argonauten, bei Timaios angeführt, erstere aber bevorzugt fand, und diese als die von vielen acceptirte widerlegte. Diese Wahrscheinlichkeit steigert sich zur Gewissheit, wenn wir uns erinnern, wie Apollonios die Sage behandelt hat. Er schildert die Isterfahrt und erwähnt doch den keltischen Dioskurendienst, mithin hat er die beiden Versionen verbunden durch die törichte Fiktion der Eridanos-Rhodanosfahrt. Timaios hatte, wie aus Strabon-Poseidonios hervorgeht, die Argonauten auf Medeas Wunsch zur Kirke kommen lassen, sie fahren dahin durch die Plankten, dann nordwärts. Apollonios verändert den ganzen Sinn des Zuges, lässt die Argonauten von Norden kommen, überträgt den Dioskurendienst der oceanischen Kelten auf die Anwohner des Mittelmeers, in umgekehrter Reihe wie bei Timaios folgen dann Kirke, die Plankten, Kerkyra. Diese Erklärung beseitigt auf das einfachste die vorhandenen Schwierigkeiten.

Neben Theopomp hatte Timaios u. A. Kallisthenes bekämpft. Tadelnd nennt ihn auch das Wunderbuch (132). Es enthält

zugleich einen giftigen Angriff auf die verhassten Phöniker, deren Volksnamen eine gesucht boshafte Deutung im Stile jener bekannten unsinnigen griechischen Etymologien gegeben wird. Die Quellenbestimmung leidet somit keinen Zweifel. Der Schluss des nächsten Kapitels, die Existenz Erytheias bestreitend, muss aus Timaios fr. 35[1]) ergänzt werden: die Insel, auf der Gades lag, nannten Ephoros und Philistides Erytheia, Timaios und Seilenos Aphrodisias; in diesem Sinne konnte es heissen, dass ein Erytheia überhaupt nicht existire. Das Verhältnis beider Stellen erweist den Ursprung unseres Kapitels, das hier nur noch mit ein paar Worten erläutert werden muss. Herakles war in das ferne Westland gezogen, für die Griechen alter Zeit bedeutete dies Epeiros. Hier gab es einen Ort Erythos, an den man den Herakleszug anknüpfte, von diesem Mythos wusste Hekataios (fr. 349). Später, als der geographische Horizont sich erweitert hatte, liess sich die Tradition nicht mehr halten, durch schlaue Fälschung aber schloss man zwischen Altem und Neuem einen Kompromiss, indem man nun den Heros aus dem fernen Westen über Epeiros seinen Weg nehmen, dort von Erytheia ihm einen Sohn geboren werden liess.[2])

Die Reihe 85—87. 89—94 könnte durch ihre vielfache Berührung mit Poseidonios oder Strabon, wo er Poseidonios ausschreibt, Zweifel erwecken. Vom Keltengifte (86) redet Strabon 199, wie in der ganzen Beschreibung Galliens aus Poseidonios schöpfend, von den iberischen Silberbergwerken Poseidonios (Strabon 147 = Diodor V 35) in fast wörtlicher Uebereinstimmung mit dem Wunderbuch (87); derselbe bestätigt (Strabon 165) ferner durch ein Beispiel das, was jenes von allen ligurischen Frauen erzählt. Zu Kapitel 92 führen die Herausgeber mit Recht Strabon 222 an, für 93, 94 ist 224, 223 verglichen worden. Diese Anklänge zeigen aber nur aufs Neue, dass Poseidonios Timaios benutzte.

---

[1]) Plin. IV 120. Das Timaioscitat stammt wahrscheinlich aus Varro, der nach seiner Gewohnheit mehrere Quellen anführte.

[2]) Zu dem Epigramm vgl. die ähnliche Fälschung im Wunderbuche cp. 131. Prof. Wilamowitz macht mich darauf aufmerksam, dass Timaios demnach auch an die von Herodot V 59. 60 citirten Inschriften im Ismenion glaubte. Vgl. auch Th. Preger: *inscriptiones graecae metricae* 79—81.

Dafür nur ein paar Belege. Die deutlichste Berührung tritt zwischen cp. 87 und Poseidonios hervor. Aber dieser spricht nur von einem alten Mythos, dem man Glauben schenken dürfe, benutzt also eine ältere Quelle, die noch nicht einmal die Ausbeutung der Silbergruben von Seiten Karthagos, sondern nur durch Massalia kannte. In Kapitel 92 erzählt das Wunderbuch von einem merkwürdigen ligurischen Flusse, es ist der Arno, wie Strabon-Poseidonios (222) zeigt; mithin liegt bei *Θαυμ. ἀκ.* eine ältere Quelle vor, die von dem etruskischen Flusse noch nichts weiss. Schliesslich stimmt cp. 94 mit Strabon (223) doch wenig überein; bei ersterem müsste man in der fabelhaften Stadt Oinarea (Oina bei Stephanos) Volsinii verstehen, wogegen Strabons Volaterrä spricht. Wir haben also, wie es besonders die fabelhafte Angabe der Höhe des Berges bei Oinarea (30 Stad. = 5550 m.) zeigt, in diesen nördlichen und westlichen Gegenden noch den unsicheren Horizont des Timaios, anstatt der klaren Darstellung des Poseidonios, der nur das, was er als brauchbar bei Timaios erkannte, beibehalten, sich auch selbst an Ort und Stelle, wie in Massalia, unterrichtet hat.

Mit den noch übrig bleibenden Stücken ist nun leicht aufgeräumt. Kapitel 95 kennen wir schon als timäisch[1]), inmitten lauter timäischer Sagen steht 96, vom Sybariten Alkisthenes[2]) handelnd. In Timaios' siebentem Buche war von sybaritischer Ueppigkeit die Rede.[3]) Hieher allein passt dies Kapitel. Wir sehen bei der Gelegenheit, dass die Timaioscitate nicht nur aus den beiden ersten Büchern genommen sind. — Kapitel 110 hatte Müllenhoff dem Timaios abgesprochen, weil derselbe unmöglich Agathokles König der Sikelioten nennen und ihm die Ehre der Jagdgeschichte hätte geben können. Doch bemerkt Enmann, dass die Bezeichnung des Agathokles als König für die letzten

---

[1]) Der Fluss *Κειός* wird als Silarus erwiesen durch Strabon 251 (Poseidonios), Silius VIII 580 (Varro). Zu dem Epitheton *πολυχρονιωτάτην* der Sibylle liefert die Ergänzung Servius *Aen.* VI 321 d. h. Varro. Maass: *De Sibyllarum indicibus* p. 35—37.

[2]) Die beste Handschrift Laur. 60, 19 hat an zweiter Stelle wie Athenaios 541 b *Ἀλκισθένης*. Dunkel bleibt, warum Apelt *Ἀλκιμένης* schreibt.

[3]) Fr. 58—62.

Lebensjahre des Tyrannen nichts Auffallendes habe, ebenso gut aber auch vom Excerptor herstammen könne. Mit vollstem Recht weist er auch auf das die eigentliche Wundergeschichte einleitende μυθολογεῖται, welches wieder so ganz in Timaios' Weise eine nur im Volksmunde lebende Erzählung charakterisirt, hin. Dass schliesslich eine besondere Ehre für Agathokles in der Geschichte liege, kann auch ich Müllenhoff nicht zugeben. — Was zum Preise Siciliens, der hohen Göttinnen Eigentum, dient, das darf man eo ipso auf Timaios' Rechnung setzen; so erledigt sich 111, das Pelorias' Reichtum an Safran rühmt, wie 82 Ennas Blumenschmuck. — Demnach bliebe uns noch 134—136. Mit 132. 133 bilden diese Kapitel die phönikisch-karthagische Reihe. Der Anfang derselben ist als timäisch erwiesen. Kapitel 134 bestimmt Utikas Gründungszeit mit der bekannten timäischen Genauigkeit in chronologischen Angaben[1], im gleichen Thema fortfahrend dürfen deshalb 135 und 136 nur den Namen des Timaios tragen.[2]

Können wir nun am Ende der Untersuchung eine planvolle Reihenfolge der Timaioskapitel erkennen und daraus vielleicht einigen Anhalt für den Gang der ganzen Periegese gewinnen? Ich denke, ja. Reste eines alten Planes finden sich hier wie in den anderen Teilen der Auscultationes, wenn auch natürlich in recht bunter Ordnung. So wird offenbar 79—81 [zu lesen: 81—79] der Osten Italiens behandelt, in Zusammenhang stehen 102, 103, 104, 105, 106—110, 132—136. Weit wichtiger, von entscheidendem Werte geradezu ist 84—94. Diese Reihe führt uns von dem Meere jenseits der Heraklessäulen nach dem Herakleswege (85), zu den Kelten, von dort nach Iberien, den Balearen, Massalia, Ligyen, Tyrrhenien. Ordnung scheint nicht vorhanden, aber sie kann mit einem Schlage geschaffen werden. Denn eng zusammen gehören offenbar cpp. 85—88, die uns auf dem Herakleswege von Italien nach Gallien und Iberien, dann zu den Balearen weisen. Dass dies die ursprüngliche Richtung der Periegese war, beweist klärlich 85: ἐκ τῆς Ἰταλίας φασὶν ἕως τῆς

[1]) Meltzer: Geschichte der Karthager I 106—108. 459. 460. Müllenhoff' 429. Das Θαυμάσιον auch bei Plin. XXXI 81.

[2]) Müllenhoff' 78. 93 noch für Timaios hat 426 Anm. u. 439 seine Meinung geändert und nimmt Lykos als Quelle an.

Κελτικῆς καὶ Κελτολιγύων[1]) *καὶ Ἰβήρων*, welche mit Polyb XII 28 a zusammenfallen, wo Timaios von sich selbst sagt, dass er *πολυπραγμονῆσαι τὰ Λιγύων ἔθη καὶ Κελτῶν, ἅμα δὲ τούτοις Ἰβήρων.* Und nun erinnern wir uns, wie Lykophron begann. Zuerst hörten wir von Daunien und Diomedes, in der Mitte hatten wir den Süden Italiens, zum Schluss Rom, Etrurien, Ligurien. Hier schliesst nun Pseudoaristoteles an. Auch er beginnt mit dem Osten Italiens, Philoktet und Epeios stehen wie im Wunderbuche zusammen. Aber eben dieses letzte Beispiel zeigt, dass wir eine strikte Ordnung nicht pedantisch herstellen dürfen: Epeios' Gründung Lagaria folgt in beiden Excerpten auf die Erzählung vom südlich gelegenen Sybaris, resp. Makalla. Im Grossen und Ganzen ist jedoch der Plan ermittelt. Mit Sicilien, seiner Heimat, wird der Schriftsteller begonnen haben, dann behandelte er Illyrien, die Nordostküste Italiens, Umbrien, Daunien, Bruttium, Kampanien, Rom, Tyrrhenien, Ligurien. Es folgten das Keltenland, Iberien, die Balearen. Ausserhalb der Säulen lagen Britannien, die seligen Inseln. Dann kam Libyen und Karthago, Sardo, Korsika. Und mit dieser Konstruktion stimmen vortrefflich die Fragmente, welche im ersten Buche Tyrrheniens (18), im zweiten Libyens und Korsikas Schilderung (26) bieten.[2]) Diese beiden Bücher, deren Teilung natürlich nicht mehr durchzuführen ist, enthielten, wie die Reconstruktionsquellen zeigen, wesentlich nur geographisches und mythologisches Material, geschichtliche Tatsachen wurden nur als Beiwerk angeführt. Von den historischen Gründungen sprachen erst die folgenden Bücher, die eigentliche *πραγματεία.*[3]) —

---

[1]) Nachlässig excerpirt: *Κελτολιγύων* muss voranstehen.

[2]) Dass ich dabei Epimenides (45) und Empedokles (88) im zweiten Buche, abgesehen von Chromios und Gelon (84), die wol ins zehnte Buch gehören (Beloch: Jahrbb. f. Phil. 123 p. 703), nicht recht unterzubringen weiss, gebe ich gern zu.

[3]) Gegen Belochs Auffassung a. a. O. kann ich mich natürlich nicht in weiterer Ausführung wenden, da er fast nur von den Fragmenten ausgeht und meine Darstellung sich auf ganz anderer Grundlage erbaut. — Schliesslich bemerke ich noch, dass *θαυμ.* 94 nicht, wie es wohl zuerst scheinen möchte, eine noch genauere chronologische Datirung des timäischen Geschichtswerkes gestattet, da die hier erzählten Dinge sonst nur in römischen Berichten vorliegen. Müller-Deecke: Die Etrusker I 120. 354.

Noch mit einem Worte möchte ich berühren, dass in der folgenden Ausgabe einiges vermisst wird und fehlen muss. Es ist selbstverständlich, dass Timaios vom *ἐν Τεμέσῃ ἥρως*[1]), von Adranos, den sicilischen Flüssen Amenanos, Pantagias, Himeras, von Kamarina geredet hat. Gleichwol konnte ich mich nicht entschliessen, die Bahn reiner Vermutung zu betreten und Ergänzungen vorzunehmen. Erkennt man, wo andere Belege und Quellen fehlen, in einer anonymen Erzählung nicht ganz besondere Timaios indicirende Merkmale, so muss man sich hüten, sie mit seinem Namen zu stempeln.

---

[1]) Darüber Ettore Pais: *Ἄτακτα. Questioni di storia Italiota e Siceliota.* annali d. univ. Tosc. Pisa 1891 p. 27—38, der die Fragen nach der Quelle dieser Berichte nicht eingehender untersucht hat.

TIMAEI LIBRORUM I et II

QUAE SUPERSUNT.

SIGNA.

* Asteriscus fontis, unde Timaeum restitui, nomini praefixus nonnulla verba, quae ad scriptorem refingendum valere non videntur, omissa esse demonstrat.

Asteriscus verbis ipsis praefixus de origine Timaeana dubitari posse docet.

Litterae diductae verba scriptoris ipsius allata indicant, e. g.: A N T I G. 1.

Codicum lectionibus usus sum

1. in Diodoro
   IV. V: 1. lib. *Vindobonensis* s. XI = D (Vogel)
   2. „ *Vaticani* s. XII = C
   XI (cp. 89):
   3. lib. *Patmii* s. X vel XI = P.
2. in Mirabilibus auscultationibus:
   lib. *Laurentiani* 60, 19 = S[a] (Bekker).

Lycophronem fere ubique verti. Verba scriptorum Romanorum litteris inclinatis, mea rectis exhibui.

SICILIA.

DIOD. V 2, 1

(*Καὶ ταύτην τὴν βίβλον ἐπιγράφοντες νησιωτικὴν ἀκολούθως τῇ γραφῇ*) *περὶ πρώτης τῆς Σικελίας ἐροῦμεν, ἐπεὶ καὶ κρατίστη τῶν νήσων ἐστὶ καὶ τῇ παλαιότητι τῶν μυθολογουμένων πεπρώτευκεν.*

SCHOL. AP. RH. IV 965

5 *Ἡ γὰρ νῆσος τὸ παλαιὸν ἀπὸ μὲν τοῦ σχήματος Τρινακρία κληθεῖσα ‖ ὅτι τρεῖς ἄκρας ἔχει ‖ ἀπὸ δὲ τῶν κατοικησάντων αὐτὴν Σικανῶν Σικανία προσαγορευθεῖσα τὸ τελευταῖον ἀπὸ τῶν Σικελῶν τῶν ἐκ τῆς Σικελίας πανδημεὶ περαιωθέντων ὠνόμασται Σικελία. ἔστι δ' αὐτῆς ἡ περίμετρος σταδίων ὡς* 10 *τετρακισχιλίων τριακοσίων ἑξήκοντα· τῶν γὰρ τριῶν πλευρῶν ἡ μὲν ἀπὸ τῆς Πελωριάδος ἐπὶ τὸ Λιλύβαιον ὑπάρχει σταδίων χιλίων ἑπτακοσίων, ἡ δ' ἀπὸ Λιλυβαίου μέχρι Παχύνου τῆς Συρακοσίας χώρας σταδίων χιλίων καὶ πεντακοσίων, ἡ δ' ἀπολειπομένη σταδίων χιλίων ἑκατὸν ἑξήκοντα. οἱ ταύτην οὖν* 15 *κατοικοῦντες Σικελιῶται παρειλήφασι παρὰ τῶν προγόνων, ἀεὶ τῆς φήμης ἐξ αἰῶνος παραδιδομένης τοῖς ἐκγόνοις ἱερὰν ὑπάρχειν τὴν νῆσον Δήμητρος καὶ Κόρης· ἔνιοι δὲ τῶν ποιητῶν μυθολογοῦσι κατὰ τὸν τοῦ Πλούτωνος καὶ Φερσεφόνης γάμον ὑπὸ Διὸς ἀνακάλυπτρα τῇ νύμφῃ δεδόσθαι ταύτην τὴν* 20 *νῆσον. τοὺς δὲ κατοικοῦντας αὐτὴν τὸ παλαιὸν Σικανοὺς αὐτόχθονας εἶναί φασιν οἱ *νομιμώτατοι τῶν συγγραφέων, καὶ τάς τε προειρημένας θεὰς ἐν ταύτῃ [τῇ νήσῳ] πρώτως φανῆναι καὶ τὸν τοῦ σίτου καρπὸν ταύτην πρώτην ἀνεῖναι διὰ τὴν*

---

5. schol. Ap. Rh. IV 965 *Τίμαιος Θρινακίαν φησὶ καλεῖσθαι. . .*
7. *τὸ τελευταῖον* Madvig, *τελευταῖον δὲ* codd. 14. *τεσσαράκοντα* codd.
21. *ἐλλογιμώτατοι* tentat Wil. 22. *τῇ νήσῳ* del. Wil. cum dett.

ἀρετὴν τῆς χώρας, περὶ ὧν καὶ τὸν ἐπιφανέστατον τῶν ποιητῶν μαρτυρεῖν λέγοντα (ι 109)

> ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται
> πυροὶ καὶ κριθαί, ἠδ' ἄμπελοι, αἵτε φέρουσιν
> οἶνον ἐριστάφυλον, καί σφιν Διὸς ὄμβρος ἀέξει. 5

ἔν τε γὰρ τῷ Λεοντίνῳ πεδίῳ καὶ κατὰ πολλοὺς ἄλλους τόπους τῆς Σικελίας μέχρι τοῦ νῦν φύεσθαι τοὺς ἀγρίους ὀνομαζομένους πυροὺς ‖ οὔτε τοῖς ἐγχωρίοις ὁμοίους, οἷς χρῶνται, οὔτε ἄλλοις ἐπεισάκτοις, ἀλλ' ἰδιότητά τινα μεγάλην ἔχοντας. ‖ καθόλου δὲ [πρὸ τῆς εὑρέσεως τοῦ σίτου] ζητουμένου κατὰ ποίαν 10 τῆς οἰκουμένης γῆν πρῶτον ἐφάνησαν οἱ προειρημένοι καρποί, εἰκός ἐστιν ἀποδίδοσθαι τὸ πρωτεῖον τῇ κρατίστῃ χώρᾳ· καὶ τὰς θεὰς δὲ τὰς εὑρούσας ἀκολούθως τοῖς εἰρημένοις ὁρᾶν ἐστι μάλιστα τιμωμένας παρὰ τοῖς Σικελιώταις· καὶ τὴν ἁρπαγὴν τὴν κατὰ τὴν Κόρην ἐν ταύτῃ γενομένην ἀπόδειξιν εἶναι 15 λέγουσι φανερωτάτην ὅτι τὰς διατριβὰς αἱ θεαὶ κατὰ ταύτην τὴν νῆσον ἐποιοῦντο διὰ τὸ στέργεσθαι μάλιστα παρ' αὐταῖς ταύτην. γενέσθαι δὲ μυθολογοῦσι τὴν ἁρπαγὴν τῆς Κόρης ἐν τοῖς λειμῶσι τοῖς κατὰ τὴν Ἔνναν· ἔστι δ' ὁ τόπος οὗτος πλησίον μὲν τῆς πόλεως, ἴοις δὲ καὶ τοῖς ἄλλοις ἄνθεσι 20 παντοδαποῖς ἐκπρεπὴς καὶ [τῆς] θέας ἄξιος· διὰ δὲ τὴν ἀπὸ τῶν φυομένων ἀνθῶν εὐωδίαν λέγεται τοὺς κυνηγεῖν εἰωθότας κύνας μὴ δύνασθαι στιβεύειν, ἐμποδιζομένους τὴν φυσικὴν αἴσθησιν. ἔστι δ' ὁ προειρημένος λειμὼν ἄνωθεν μὲν ὁμαλὸς καὶ παντελῶς εὔυδρος, κύκλῳ δ' ὑψηλὸς καὶ πανταχόθεν 25 κρημνοῖς ἀπότομος. δοκεῖ δ' ἐν μέσῳ κεῖσθαι τῆς ὅλης νήσου, διὸ καὶ Σικελίας ὀμφαλὸς ὑπό τινων προσαγορεύεται. ἔχει δὲ καὶ πλησίον ἄλση [λειμῶνας] καὶ περὶ ταῦτα ἕλη, καὶ σπήλαιον εὐμέγεθες, ἔχον χάσμα κατάγειον πρὸς τὴν ἄρκτον νενευκός, δι' οὗ μυθολογοῦσι τὸν Πλούτωνα μεθ' ἅρματος ἐπελ- 30 θόντα ποιήσασθαι τὴν ἁρπαγὴν τῆς Κόρης. τὰ δὲ ἴα καὶ τῶν ἄλλων ἀνθῶν τὰ παρεχόμενα τὴν εὐωδίαν παραδόξως δι' ὅλου τοῦ ἐνιαυτοῦ παραμένειν θάλλοντα καὶ τὴν ὅλην πρόσοψιν ἀνθηρὰν καὶ ἐπιτερπῆ παρεχόμενα. μυθολογοῦσι δὲ μετὰ τῆς

ΘΑΥΜ. ἈΚ. 82 — DIOD. V 3

10. πρὸ — σίτου del. Wil. 12. εἰκότως D. 14. τῆς ἁρπαγῆς τῆς — γενομένης codd. em. Hertlein. 21. τῆς θεᾶς D. 28. λειμῶνας D. καὶ λ. vel plura dett. 30. διὸ D.

Κόρης τὰς τῆς ὁμοίας παρθενίας ἠξιωμένας Ἀθηνᾶν τε καὶ
Ἄρτεμιν συντρεφομένας συνάγειν μετ' αὐτῆς τὰ ἄνθη καὶ
κατασκευάζειν κοινῇ τῷ πατρὶ Διὶ τὸν πέπλον. διὰ δὲ τὰς
μετ' ἀλλήλων διατριβάς τε καὶ ὁμιλίας ἁπάσας στέρξαι τὴν
5 *νῆσον ταύτην μάλιστα καὶ λαχεῖν ἑκάστην αὐτῶν χώραν, τὴν*
μὲν Ἀθηνᾶν ἐν τοῖς περὶ τὸν Ἱμέραν μέρεσιν, ἐν οἷς τὰς μὲν
νύμφας χαριζομένας Ἀθηνᾷ τὰς τῶν θερμῶν ὑδάτων ἀνεῖναι
πηγὰς κατὰ τὴν Ἡρακλέους παρουσίαν, τοὺς δ' ἐγχωρίους πόλιν
αὐτῇ καθιερῶσαι καὶ χώραν τὴν ὀνομαζομένην μέχρι τοῦ νῦν
10 *Ἀθήναιον· τὴν δ' Ἄρτεμιν τὴν ἐν ταῖς Συρακούσαις νῆσον*
λαβεῖν παρὰ τῶν θεῶν τὴν ἀπ' ἐκείνης Ὀρτυγίαν ὑπό τε τῶν
χρησμῶν καὶ τῶν ἀνθρώπων ὀνομασθεῖσαν. ὁμοίως δὲ καὶ
κατὰ τὴν νῆσον ταύτην ἀνεῖναι τὰς Νύμφας [ταύτας] χαριζο-
μένας τῇ Ἀρτέμιδι μεγίστην πηγὴν τὴν ὀνομαζομένην Ἀρέ-
15 *θουσαν.*

Φησὶ (sc. Timaeus) *τοιγαροῦν τὴν Ἀρέθουσαν κρήνην* POL. XII 4d. 5
τὴν ἐν ταῖς Συρακούσαις ἔχειν τὰς πηγὰς ἐκ τοῦ κατὰ Πελο-
πόννησον διά τε τῆς Ἀρκαδίας καὶ διὰ τῆς Ὀλυμπίας ῥέοντος
ποταμοῦ Ἀλφειοῦ· ἐκεῖνον γὰρ δύντα κατὰ γῆς ⟨καὶ⟩ τετρα-
20 *κισχιλίους σταδίους ὑπὸ τὸ Σικελικὸν ἐνεχθέντα πέλαγος ἀναδύ-*
νειν ἐν ταῖς Συρακούσαις. γενέσθαι δὲ τοῦτο δῆλον ἐκ τοῦ
κατά τινα χρόνον οὐρανίων ὄμβρων ῥαγέντων κατὰ τὸν τῶν
Ὀλυμπίων καιρὸν καὶ τοῦ ποταμοῦ τοὺς κατὰ τὸ τέμενος ἐπι-
κλύσαντος τόπους, ὄνθον τε πλῆθος ἀναβλύζειν τὴν Ἀρέθουσαν
25 *ἐκ τῶν κατὰ τὴν πανήγυριν θυομένων βοῶν καὶ φιάλην χρυσῆν*
ἀναβάλλειν, ἣν ἐπιγνόντες ἰδίαν τῆς ἑορτῆς ἀνείλοντο. ταύτην . . . DIOD. V 3, 6
ἔχειν μεγάλους καὶ πολλοὺς ἰχθύας . . ἱεροὺς ὄντας καὶ ἀθίκτους
ἀνθρώποις· ἐξ ὧν πολλάκις τινῶν κατὰ τὰς πολεμικὰς περι-
στάσεις φαγόντων, παραδόξως ἐπεσήμηνε τὸ θεῖον καὶ με-
30 *γάλαις συμφοραῖς περιέβαλε τοὺς τολμήσαντας προσενέγκασθαι·*
. . . ὁμοίως δὲ ταῖς προειρημέναις θεαῖς καὶ τὴν Κόρην V 4
λαχεῖν τοὺς περὶ τὴν Ἔνναν λειμῶνας· πηγὴν δὲ μεγάλην
αὐτῇ καθιερωθῆναι ἐν τῇ Συρακοσίᾳ τὴν ὀνομαζομένην Κυάνην.
τὸν γὰρ Πλούτωνα μυθολογοῦσι τὴν ἁρπαγὴν ποιησάμενον

---

1 *τὰς τῆς ταύτης* D 6 *τὴν Ἱμ.* dett. 13 *ταύτας* del. Wil. 19 *καὶ* add. Spengel 20 *ἀναδύειν* cod. corr. Naber. 29 *ἐπεσήμαινε* D

ἀποκομίσαι τὴν Κόρην ἐφ' ἅρματος πλησίον τῶν Συρακουσῶν καὶ τὴν γῆν ἀναρρήξαντα αὐτὸν μὲν μετὰ τῆς ἁρπαγείσης δῦναι καθ' ᾅδου, πηγὴν δ' ἀνεῖναι τὴν ὀνομαζομένην Κυάνην, πρὸς ᾗ κατ' ἐνιαυτὸν οἱ Συρακόσιοι πανήγυριν ἐπιφανῆ συντελοῦσι, καὶ θύουσιν οἱ μὲν ἰδιῶται τὰ ἐλάττω τῶν ἱερείων, δημοσίᾳ 5 δὲ ταύρους βυθίζουσιν ἐν τῇ λίμνῃ, ταύτην τὴν θυσίαν καταδείξαντος Ἡρακλέους καθ' ὃν καιρὸν τὰς Γηρυόνου βοῦς ἐλαύνων περιῆλθε πᾶσαν Σικελίαν. μετὰ δὲ τὴν τῆς Κόρης ἁρπαγὴν μυθολογοῦσι τὴν Δήμητρα μὴ δυναμένην ἀνευρεῖν τὴν θυγατέρα λαμπάδας ἐκ τῶν κατὰ τὴν Αἴτνην κρατήρων 10 ἀναψαμένην ἐπελθεῖν ἐπὶ πολλὰ μέρη τῆς οἰκουμένης, τῶν δ' ἀνθρώπων τοὺς μάλιστ' αὐτὴν προσδεξαμένους εὐεργετῆσαι τὸν τῶν πυρῶν καρπὸν ἀντιδωρησαμένην. φιλανθρωπότατα δὲ τῶν Ἀθηναίων ὑποδεξαμένων τὴν θεόν, πρώτοις τούτοις μετὰ τοὺς Σικελιώτας δωρήσασθαι τὸν τῶν πυρῶν καρπόν. 15 ἀνθ' ὧν ὁ δῆμος οὗτος περιττότερον τῶν ἄλλων ἐτίμησαν τὴν θεὸν θυσίαις τ' ἐπιφανεστάταις καὶ τοῖς ἐν Ἐλευσῖνι μυστηρίοις, ἃ διὰ τὴν ὑπερβολὴν τῆς ἀρχαιότητος καὶ ἁγνείας ἐγένετο πᾶσιν ἀνθρώποις περιβόητα. παρὰ δὲ τῶν Ἀθηναίων πολλοὶ μεταλαβόντες τῆς ἐκ τοῦ σίτου φιλανθρωπίας καὶ τοῖς πλη- 20 σιοχώροις μεταδιδόντες τοῦ σπέρματος ἐπλήρωσαν πᾶσαν τὴν οἰκουμένην. οἱ δὲ κατὰ τὴν Σικελίαν, διὰ τὴν τῆς Δήμητρος καὶ Κόρης πρὸς αὐτοὺς οἰκειότητα πρῶτοι τῆς εὑρέσεως τοῦ σίτου μεταλαβόντες, ἑκατέρᾳ τῶν θεῶν κατέδειξαν θυσίας καὶ πανηγύρεις, ἐπωνύμους αὐταῖς ποιήσαντες καὶ τῷ χρόνῳ δια- 25 σημήναντες τὰς δοθείσας δωρεάς. τῆς μὲν γὰρ Κόρης τὴν καταγωγὴν ἐποιήσαντο περὶ τὸν καιρὸν ἐν ᾧ τὸν τοῦ σίτου καρπὸν τελεσιουργεῖσθαι συνέβαινε, καὶ ταύτην τὴν θυσίαν καὶ πανήγυριν μετὰ τοσαύτης ἁγνείας καὶ σπουδῆς ἐπιτελοῦσιν ὅσης εἰκός ἐστι τοὺς τῇ κρατίστῃ δωρεᾷ προκριθέντας τῶν 30 ἄλλων ἀνθρώπων ἀποδιδόναι τὰς χάριτας· τῆς δὲ Δήμητρος τὸν καιρὸν τῆς θυσίας προέκριναν ἐν ᾧ τὴν ἀρχὴν ὁ σπόρος τοῦ σίτου λαμβάνει, ἐπὶ δ' ἡμέρας δέκα πανήγυριν ἄγουσιν ἐπώνυμον τῆς θεοῦ ταύτης, τῇ τε λαμπρότητι τῆς παρασκευῆς μεγαλοπρεπεστάτην καὶ τῇ διασκευῇ μιμούμενοι τὸν ἀρχαῖον

1. ἅρμασι D. 30. ὅσης Hertlein, ὅσην codd.

Κόρης τὰς τῆς ὁμοίας παρθενίας ἠξιωμένας Ἀθηνᾶν τε καὶ Ἄρτεμιν συντρεφομένας συνάγειν μετ' αὐτῆς τὰ ἄνθη καὶ κατασκευάζειν κοινῇ τῷ πατρὶ Διὶ τὸν πέπλον. διὰ δὲ τὰς μετ' ἀλλήλων διατριβάς τε καὶ ὁμιλίας ἁπάσας στέρξαι τὴν
5 νῆσον ταύτην μάλιστα καὶ λαχεῖν ἑκάστην αὐτῶν χώραν, τὴν μὲν Ἀθηνᾶν ἐν τοῖς περὶ τὸν Ἱμέραν μέρεσιν, ἐν οἷς τὰς μὲν νύμφας χαριζομένας Ἀθηνᾷ τὰς τῶν θερμῶν ὑδάτων ἀνεῖναι πηγὰς κατὰ τὴν Ἡρακλέους παρουσίαν, τοὺς δ' ἐγχωρίους πόλιν αὐτῇ καθιερῶσαι καὶ χώραν τὴν ὀνομαζομένην μέχρι τοῦ νῦν
10 Ἀθήναιον· τὴν δ' Ἄρτεμιν τὴν ἐν ταῖς Συρακούσαις νῆσον λαβεῖν παρὰ τῶν θεῶν τὴν ἀπ' ἐκείνης Ὀρτυγίαν ὑπό τε τῶν χρησμῶν καὶ τῶν ἀνθρώπων ὀνομασθεῖσαν. ὁμοίως δὲ καὶ κατὰ τὴν νῆσον ταύτην ἀνεῖναι τὰς Νύμφας [ταύτας] χαριζομένας τῇ Ἀρτέμιδι μεγίστην πηγὴν τὴν ὀνομαζομένην Ἀρέ-
15 θουσαν.

Φησὶ (sc. Timaeus) τοιγαροῦν τὴν Ἀρέθουσαν κρήνην τὴν ἐν ταῖς Συρακούσαις ἔχειν τὰς πηγὰς ἐκ τοῦ κατὰ Πελοπόννησον διά τε τῆς Ἀρκαδίας καὶ διὰ τῆς Ὀλυμπίας ῥέοντος ποταμοῦ Ἀλφειοῦ· ἐκεῖνον γὰρ δύντα κατὰ γῆς ⟨καὶ⟩ τετρα- — POL. XII 4d. 5
20 κισχιλίους σταδίους ὑπὸ τὸ Σικελικὸν ἐνεχθέντα πέλαγος ἀναδύνειν ἐν ταῖς Συρακούσαις, γενέσθαι δὲ τοῦτο δῆλον ἐκ τοῦ κατά τινα χρόνον οὐρανίων ὄμβρων ῥαγέντων κατὰ τὸν τῶν Ὀλυμπίων καιρὸν καὶ τοῦ ποταμοῦ τοὺς κατὰ τὸ τέμενος ἐπικλύσαντος τόπους, ὄνθου τε πλῆθος ἀναβλύζειν τὴν Ἀρέθουσαν
25 ἐκ τῶν κατὰ τὴν πανήγυριν θυομένων βοῶν καὶ φιάλην χρυσῆν ἀναβαλεῖν, ἣν ἐπιγνόντες ἰδίαν τῆς ἑορτῆς ἀνείλοντο. || ταύτην... ἔχειν μεγάλους καὶ πολλοὺς ἰχθύας.. ἱεροὺς ὄντας καὶ ἀθίκτους ἀνθρώποις· ἐξ ὧν πολλάκις τινῶν κατὰ τὰς πολεμικὰς περιστάσεις φαγόντων, παραδόξως ἐπεσήμηνε τὸ θεῖον καὶ με- — *DIOD. V 3, 6
30 γάλαις συμφοραῖς περιέβαλε τοὺς τολμήσαντας προσενέγκασθαι· ... ὁμοίως δὲ ταῖς προειρημέναις δυσὶ θεαῖς καὶ τὴν Κόρην λαχεῖν τοὺς περὶ τὴν Ἔνναν λειμῶνας· πηγὴν δὲ μεγάλην αὐτῇ καθιερωθῆναι ἐν τῇ Συρακοσίᾳ τὴν ὀνομαζομένην Κυάνην. τὸν γὰρ Πλούτωνα μυθολογοῦσι τὴν ἁρπαγὴν ποιησάμενον — V 4

---

1. τὰς τῆς] ταύτης D. 6. τὴν Ἱμ. dett. 13. ταύτας del. Wil. 18. καὶ add. Spengel. 20. ἀναδύειν cod. corr. Naber. 29. ἐπεσήμαινε D.

ἄγνοιαν τούτου τοῦ συγγραφέως ἐλέγξας ἀκριβῶς ἀποφαίνεται τούτους αὐτόχθονας εἶναι· πολλὰς δ' αὐτοῦ φέροντος ἀποδείξεις τῆς τούτων ἀρχαιότητος, οὐκ ἀναγκαῖον ἡγούμεθα περὶ τούτων διεξιέναι. οἱ δ' οὖν Σικανοὶ τὸ παλαιὸν κωμηδὸν ᾤκουν, ἐπὶ τῶν ὀχυρωτάτων λόφων τὰς πόλεις κατασκευ- 5 άζοντες διὰ τοὺς λῃστάς· οὐ γὰρ ἦσαν ὑπὸ μίαν ἡγεμονίαν βασιλέως τεταγμένοι, κατὰ πόλιν δὲ ἑκάστην εἷς ἦν ὁ δυναστεύων. καὶ τὸ μὲν πρῶτον ἅπασαν τὴν νῆσον κατῴκουν καὶ τὴν χώραν ἐργαζόμενοι τὰς τροφὰς εἶχον· ὕστερον δὲ τῆς Αἴτνης ἐν πλείοσι τόποις ἀναφυσήματα πυρὸς ἀνείσης, καὶ πολλοῦ κατὰ τὴν χώραν 10 ῥύακος ἐκχυθέντος, συνέβη φθαρῆναι* τῆς γῆς ἐπὶ πολὺν τόπον. ἐπ' ἔτη δὲ πλείω τοῦ πυρὸς ἐπινεμομένου πολλὴν χώραν, φοβηθέντες τὰ μὲν πρὸς ἕω κεκλιμένα τῆς Σικελίας ἐξέλιπον, εἰς δὲ τὰ πρὸς δυσμὰς νεύοντα μετῴκησαν. τὸ δὲ τελευταῖον πολλαῖς γενεαῖς ὕστερον ἐκ τῆς Ἰταλίας τὸ τῶν Σικελῶν ἔθνος 15 πανδημεὶ περαιωθὲν εἰς τὴν Σικελίαν, τὴν ὑπὸ τῶν Σικανῶν ἐκλειφθεῖσαν χώραν κατῴκησαν. ἀεὶ δὲ τῇ πλεονεξίᾳ προβαινόντων τῶν Σικελῶν καὶ τὴν ὅμορον πορθούντων, ἐγένοντο πόλεμοι πλεονάκις αὐτοῖς πρὸς τοὺς Σικανούς, ἕως συνθήκας ποιησάμενοι συμφώνους ὅρους ἔθεντο τῆς χώρας .... ὕστατα 20 δ' ἀποικίαι τῶν Ἑλλήνων ἐγένοντο κατὰ τὴν Σικελίαν ἀξιόλογοι καὶ πόλεις παρὰ θάλατταν ἐκτίσθησαν. ἀναμιγνύμενοι δ' ἀλλήλοις καὶ διὰ τὸ πλῆθος τῶν καταπλεόντων Ἑλλήνων τήν τε διάλεκτον αὐτῶν ἔμαθον καὶ ταῖς ἀγωγαῖς συντραφέντες τὸ τελευταῖον τὴν βάρβαρον διάλεκτον ἅμα καὶ τὴν προσηγορίαν 25 ἠλλάξαντο, Σικελιῶται προσαγορευθέντες. —

ΣΧ. ΛΥΚ 46 Ὁ Ἡρακλῆς τὰς Γηρυόνος βοῦς ἐλαύνων, ὡς ἐγένετο κατὰ τὸν πορθμὸν μεταξὺ Ἰταλίας καὶ Σικελίας, ἀπέκτεινε τὴν Σκύλλαν ἁρπάζουσαν τῶν ταύρων· ἀνεζωπύρησε δὲ αὐτὴν Φόρκυς ὁ πατὴρ αὐτῆς καύσας. 30

DIOD. IV 22, 6 Ὁ δ' Ἡρακλῆς καταντήσας ἐπὶ τὸν πορθμὸν κατὰ τὸ στενότατον τῆς θαλάττης, τὰς μὲν βοῦς ἐπεραίωσεν εἰς τὴν Σικελίαν, αὐτὸς δὲ ταύρου κέρως λαβόμενος διενήξατο τὸν πόρον, ὄντος τοῦ διαστήματος σταδίων τριῶν καὶ δέκα, ὡς IV 23, 1 Τίμαιός φησιν. μετὰ δὲ ταῦτα βουλόμενος ἐγκυκλωθῆναι

9. ἐν om. D.

πᾶσαν Σικελίαν, ἐποιεῖτο τὴν πορείαν ἀπὸ τῆς Πελωριάδος
ἐπὶ τὸν Ἔρυκα. διεξιόντος δ' αὐτοῦ τὴν παράλιον τῆς νήσου,
μυθολογοῦσι τὰς Νύμφας ἀνεῖναι θερμὰ λουτρὰ πρὸς τὴν
ἀνάπαυσιν τῆς κατὰ τὴν ὁδοιπορίαν αὐτῷ γενομένης κακοπα-
5 θείας· τούτων δ' ὄντων διττῶν, τὰ μὲν Ἱμεραῖα, τὰ δ' Αἰγεσταῖα
προσαγορεύεται, τὴν ὀνομασίαν ἔχοντα ταύτην ἀπὸ τῶν τόπων.
τοῦ δ' Ἡρακλέους πλησιάσαντος τοῖς κατὰ τὸν Ἔρυκα τόποις,
προεκαλέσατο αὐτὸν Ἔρυξ εἰς πάλην, υἱὸς [μὲν] ὢν Ἀφρο-
δίτης καὶ Βούτα τοῦ τότε βασιλεύοντος τῶν τόπων. || κτίσαι IV 23 1 seq.
10 δὲ [Erycem] καὶ πόλιν ἀξιόλογον ὁμώνυμον αὑτῷ, κειμένην
ἐπί τινος ὑψηλοῦ τόπου· κατὰ δὲ τὴν ἄκραν τὴν ἐν τῇ πόλει
τῆς μητρὸς ἱερὸν ἱδρύσασθαι καὶ κοσμῆσαι τῇ τε κατασκευῇ
τοῦ ναοῦ καὶ τῷ πλήθει τῶν ἀναθημάτων. τὴν δὲ θεὸν διά τε
τὴν ἀπὸ τῶν ἐγχωρίων εὐσέβειαν καὶ διὰ τὴν ἀπὸ τοῦ τεκνω-
15 θέντος υἱοῦ τιμὴν ἀγαπῆσαι περιττότερον τὴν πόλιν· διόπερ
αὐτὴν Ἀφροδίτην Ἐρυκίνην ὀνομασθῆναι. || γενομένης δὲ τῆς IV 24 1 seq.
φιλοτιμίας μετὰ προστίμου, καὶ τοῦ μὲν Ἔρυκος διδόντος τὴν
χώραν, τοῦ δ' Ἡρακλέους τὰς βοῦς, τὸ μὲν πρῶτον ἀγανακτεῖν
τὸν Ἔρυκα, διότι πολὺ λείπονται τῆς ἀξίας αἱ βόες, συγκρινο-
20 μένης τῆς χώρας πρὸς αὐτάς· πρὸς ταῦτα δὲ τοῦ Ἡρακλέους
ἀποφαινομένου διότι, ταύτας ἂν ἀποβάλῃ, στερήσεται τῆς
ἀθανασίας, εὐδοκήσας ὁ Ἔρυξ τῇ συνθήκῃ καὶ παλαίσας
ἐλείφθη καὶ τὴν χώραν ἀπέβαλεν. ὁ δ' Ἡρακλῆς τὴν μὲν
χώραν παρέθετο τοῖς ἐγχωρίοις, συγχωρήσας αὐτοῖς λαμβάνειν
25 τοὺς καρπούς, μέχρι ἄν τις τῶν ἐκγόνων αὐτοῦ παραγενόμε-
νος ἀπαιτήσῃ· ὅπερ καὶ συνέβη γενέσθαι. πολλαῖς γὰρ ὕστερον
γενεαῖς Δωριεὺς ὁ Λακεδαιμόνιος καταντήσας εἰς τὴν Σικελίαν
καὶ τὴν χώραν ἀπολαβὼν ἔκτισε πόλιν Ἡράκλειαν. ταχὺ
δ' αὐτῆς αὐξομένης, οἱ Καρχηδόνιοι φθονήσαντες ἅμα καὶ
30 φοβηθέντες μήποτε πλέον ἰσχύσασα [τῆς Καρχηδόνος] ἀφέληται
τῶν Φοινίκων τὴν ἡγεμονίαν, στρατεύσαντες ἐπ' αὐτὴν μεγά-
λαις δυνάμεσι καὶ κατὰ κράτος ἑλόντες κατέσκαψαν. . . τότε
δ' ὁ Ἡρακλῆς ἐγκυκλούμενος τὴν Σικελίαν, καταντήσας εἰς τὴν
νῦν οὖσαν τῶν Συρακοσίων πόλιν καὶ πυθόμενος τὰ μυθο-

5 Αἰγεσταῖα scripsi Lycophronis 968 optimos libros secutus; Ἀγεσταῖα Diod. 8. μὲν del. Bekker. 30. τῆς Καρχηδόνος del. Wil.

λογούμενα κατὰ τὴν τῆς Κόρης ἁρπαγήν, ἔθυσέ τε ταῖς θεαῖς
μεγαλοπρεπῶς καὶ εἰς τὴν Κυάνην τὸν καλλιστεύοντα τῶν
ταύρων καθαγίσας κατέδειξε θύειν τοὺς ἐγχωρίους κατ' ἐνιαυτὸν
τῇ Κόρῃ καὶ πρὸς τῇ Κυάνῃ λαμπρῶς ἄγειν πανήγυρίν τε καὶ
θυσίαν. αὐτὸς δὲ μετὰ τῶν βοῶν διὰ τῆς μεσογείου διεξιών, 5
καὶ τῶν ἐγχωρίων Σικανῶν μεγάλαις δυνάμεσιν ἀντιταξαμένων,
ἐνίκησεν ἐπιφανεῖ παρατάξει καὶ πολλοὺς ἀπέκτεινεν, ἐν οἷς
μυθολογοῦσί τινες καὶ στρατηγοὺς ἐπιφανεῖς γεγενῆσθαι τοὺς
μέχρι τοῦ νῦν ἡρωικῆς τιμῆς τυγχάνοντας, Λεύκασπιν καὶ
Πεδιακράτην καὶ Βουφόναν καὶ Γλυχάταν, ἔτι δὲ Βυ- 10
ταίαν καὶ Κρυτίδαν.

IV 24 Μετὰ δὲ ταῦτα διελθὼν τὸ Λεοντῖνον πεδίον, τὸ μὲν
κάλλος τῆς χώρας ἐθαύμασε, πρὸς δὲ τοὺς τιμῶντας αὐτὸν
οἰκείως διατιθέμενος ἀπέλιπε παρ' αὐτοῖς ἀθάνατα μνημεῖα
τῆς ἑαυτοῦ παρουσίας. ἴδιον δέ τι συνέβη γενέσθαι περὶ τὴν 15
πόλιν τῶν Ἀγυριναίων. ἐν ταύτῃ γὰρ τιμηθεὶς ἐπ' ἴσης τοῖς
Ὀλυμπίοις θεοῖς πανηγύρεσι καὶ θυσίαις λαμπραῖς, καίπερ
κατὰ τοὺς ἔμπροσθεν χρόνους οὐδεμίαν θυσίαν προσδεχόμενος,
τότε πρώτως συνευδόκησε, τοῦ δαιμονίου τὴν ἀθανασίαν αὐτῷ
προσημαίνοντος. ὁδοῦ γὰρ οὔσης οὐκ ἄπωθεν τῆς πόλεως 20
πετρώδους, αἱ βόες τὰ ἴχνη καθάπερ ἐπὶ κηροῦ τινος ἀπετυ-
ποῦντο. ὁμοίως δὲ καὶ αὐτῷ τῷ Ἡρακλεῖ τούτου συμβαίνον-
τος, καὶ τοῦ ἄθλου δεκάτου τελουμένου, νομίσας ἤδη τι λαμ-
βάνειν τῆς ἀθανασίας, προσεδέχετο τὰς τελουμένας ὑπὸ τῶν
ἐγχωρίων κατ' ἐνιαυτὸν θυσίας. διόπερ τοῖς εὐδοκουμένοις 25
τὰς χάριτας ἀποδιδούς, πρὸ μὲν τῆς πόλεως κατεσκεύασε
λίμνην, ἔχουσαν τὸν περίβολον σταδίων τεττάρων, ἣν ἐπώ-
νυμον αὑτῷ καλεῖσθαι προσέταξεν· ὡσαύτως δὲ καὶ τῶν
βοῶν τοῖς ἀποτυπωθεῖσιν ἴχνεσι τὴν ἐφ' ἑαυτοῦ προσηγορίαν
ἐπιθείς, τέμενος κατεσκεύασεν ἥρωι Γηρυόνῃ, ὃ μέχρι τοῦ νῦν 30
τιμᾶται παρὰ τοῖς ἐγχωρίοις, Ἰολάου τε τοῦ ἀδελφιδοῦ
συστρατεύοντος τέμενος ἀξιόλογον ἐποίησε καὶ τιμὰς καὶ θυσίας

3. καθαγιάσας D. 10. Πεδειοκράτει cod. Paris. Macrob. V 19, 30 (Xenagoras). 17. καίπερ] καὶ C D. 25. εὐδοκιμουμένοις vulg. corr. Vogel. 28. αὐτῷ vulg. corr. Wil. 30. κατεσκεύασεν D, καθιέρωσεν dett.

πᾶσαν Σικελίαν, ἐποιεῖτο τὴν πορείαν ἀπὸ τῆς Πελωριάδος ἐπὶ τὸν Ἔρυκα. διεξιόντος δ' αὐτοῦ τὴν παράλιον τῆς νήσου, μυθολογοῦσι τὰς Νύμφας ἀνεῖναι θερμὰ λουτρὰ πρὸς τὴν ἀνάπαυσιν τῆς κατὰ τὴν ὁδοιπορίαν αὐτῷ γενομένης κακοπα-
5 θείας· τούτων δ' ὄντων διττῶν, τὰ μὲν Ἱμεραῖα, τὰ δ' Αἰγεσταῖα προσαγορεύεται, τὴν ὀνομασίαν ἔχοντα ταύτην ἀπὸ τῶν τόπων. τοῦ δ' Ἡρακλέους πλησιάσαντος τοῖς κατὰ τὸν Ἔρυκα τόποις, προεκαλέσατο αὐτὸν Ἔρυξ εἰς πάλην, υἱὸς [μὲν] ὢν Ἀφροδίτης καὶ Βούτα τοῦ τότε βασιλεύοντος τῶν τόπων. || κτίσαι
10 δὲ [Erycem] καὶ πόλιν ἀξιόλογον ὁμώνυμον αὐτῷ, κειμένην ἐπί τινος ὑψηλοῦ τόπου· κατὰ δὲ τὴν ἄκραν τὴν ἐν τῇ πόλει τῆς μητρὸς ἱερὸν ἱδρύσασθαι καὶ κοσμῆσαι τῇ τε κατασκευῇ τοῦ νεὼ καὶ τῷ πλήθει τῶν ἀναθημάτων. τὴν δὲ θεὸν διά τε τὴν ἀπὸ τῶν ἐγχωρίων εὐσέβειαν καὶ διὰ τὴν ἀπὸ τοῦ τεκνω-
15 θέντος υἱοῦ τιμὴν ἀγαπῆσαι περιττότερον τὴν πόλιν· διόπερ αὐτὴν Ἀφροδίτην Ἐρυκίνην ὀνομασθῆναι. || γενομένης δὲ τῆς φιλοτιμίας μετὰ προστίμου, καὶ τοῦ μὲν Ἔρυκος διδόντος τὴν χώραν, τοῦ δ' Ἡρακλέους τὰς βοῦς, τὸ μὲν πρῶτον ἀγανακτεῖν τὸν Ἔρυκα, διότι πολὺ λείπονται τῆς ἀξίας αἱ βόες, συγκρινο-
20 μένης τῆς χώρας πρὸς αὐτάς· πρὸς ταῦτα δὲ τοῦ Ἡρακλέους ἀποφαινομένου διότι, ταύτας ἂν ἀποβάλῃ, στερήσεται τῆς ἀθανασίας, εὐδοκήσας ὁ Ἔρυξ τῇ συνθήκῃ καὶ παλαίσας ἐλείφθη καὶ τὴν χώραν ἀπέβαλεν. ὁ δ' Ἡρακλῆς τὴν μὲν χώραν παρέθετο τοῖς ἐγχωρίοις, συγχωρήσας αὐτοῖς λαμβάνειν
25 τοὺς καρπούς, μέχρι ἄν τις τῶν ἐκγόνων αὐτοῦ παραγενόμενος ἀπαιτήσῃ· ὅπερ καὶ συνέβη γενέσθαι. πολλαῖς γὰρ ὕστερον γενεαῖς Δωριεὺς ὁ Λακεδαιμόνιος καταντήσας εἰς τὴν Σικελίαν καὶ τὴν χώραν ἀπολαβὼν ἔκτισε πόλιν Ἡράκλειαν. ταχὺ δ' αὐτῆς αὐξομένης, οἱ Καρχηδόνιοι φθονήσαντες ἅμα καὶ
30 φοβηθέντες μήποτε πλέον ἰσχύσασα [τῆς Καρχηδόνος] ἀφέληται τῶν Φοινίκων τὴν ἡγεμονίαν, στρατεύσαντες ἐπ' αὐτὴν μεγάλαις δυνάμεσι καὶ κατὰ κράτος ἑλόντες κατέσκαψαν. . . τότε δ' ὁ Ἡρακλῆς ἐγκυκλούμενος τὴν Σικελίαν, καταντήσας εἰς τὴν νῦν οὖσαν τῶν Συρακοσίων πόλιν καὶ πυθόμενος τὰ μυθο-

IV 83, 1 sqq.

* IV 23, 2 sqq.

---

5. Αἰγεσταῖα scripsi Lycophronis 968 optimos libros secutus; Ἐγεσταῖα Diod. 8. μὲν del. Bekker. 30. τῆς Καρχηδόνος del. Wil.

enim per tempus patriae excidii memores incolae veste atra,
ΛΥΚ. 869. 870 crinibus intonsis luctum significabant. *Κογχείας ὕδωρ· Γονοῦσα.*

* ΣΧ. ΛΥΚ. 659 *Τούτους* (sc. Laestrygones) . . *ὁ Ἡρακλῆς κατετόξευσεν, ἡνίκα ἤλαυνε τὰς βοῦς τοῦ Γηρυόνος, ὅτε ἐπεχείρησαν κατ' αὐτοῦ πόλεμον.* 5

DIOD. IV 76 * *Δαίδαλος ἦν τὸ μὲν γένος Ἀθηναῖος, εἷς τῶν Ἐρεχθειδῶν ὀνομαζόμενος· ἦν γὰρ υἱὸς Μητίονος τοῦ Εὐπαλάμου τοῦ Ἐρεχθέως· φύσει δὲ πολὺ τοὺς ἄλλους ἅπαντας ὑπεραίρων ἐζήλωσε τά τε περὶ τὴν τεκτονικὴν τέχνην καὶ τὴν τῶν ἀγαλμάτων κατασκευὴν καὶ λιθουργίαν. εὑρετὴς δὲ γενόμενος πολλῶν τῶν συνεργούντων εἰς τὴν τέχνην κατεσκεύασεν ἔργα θαυμαζόμενα κατὰ πολλοὺς τόπους τῆς οἰκουμένης. κατὰ δὲ τὴν τῶν ἀγαλμάτων κατασκευὴν τοσοῦτο τῶν ἁπάντων ἀνθρώπων διήνεγκεν ὥστε τοὺς μεταγενεστέρους μυθολογῆσαι περὶ αὐτοῦ διότι τὰ κατασκευαζόμενα τῶν ἀγαλμάτων ὁμοιότατα τοῖς ἐμψύχοις ὑπάρχει· βλέπειν τε γὰρ αὐτὰ καὶ περιπατεῖν, καὶ καθόλου τηρεῖν τὴν τοῦ ὅλου σώματος διάθεσιν, ὥστε δοκεῖν εἶναι τὸ κατασκευασθὲν ἔμψυχον ζῷον. πρῶτος δ' ὀμματώσας καὶ διαβεβηκότα τὰ σκέλη ποιήσας, ἔτι δὲ τὰς χεῖρας διατεταμένας ποιῶν, εἰκότως ἐθαυμάζετο παρὰ τοῖς ἀνθρώποις· οἱ γὰρ πρὸ τούτου τεχνῖται κατεσκεύαζον τὰ ἀγάλματα τοῖς μὲν ὄμμασι μεμυκότα, τὰς δὲ χεῖρας ἔχοντα καθειμένας καὶ ταῖς πλευραῖς κεκολλημένας. ὁ δ' οὖν Δαίδαλος κατὰ τὴν φιλοτεχνίαν θαυμαζόμενος ἔφυγεν ἐκ τῆς πατρίδος, καταδικασθεὶς ἐπὶ φόνῳ διὰ τοιαύτας αἰτίας. τῆς ἀδελφῆς τῆς Δαιδάλου γενόμενος υἱὸς Τάλως ἐπαιδεύετο παρὰ Δαιδάλῳ, παῖς ὢν τὴν ἡλικίαν· εὐφυέστερος δ' ὢν τοῦ διδασκάλου τόν τε κεραμευτικὸν τροχὸν εὗρε καὶ σιαγόνι περιτυχὼν ὄφεως, καὶ ταύτῃ ξυλήφιον μικρὸν διαπρίσας, ἐμιμήσατο τὴν τραχύτητα τῶν ὀδόντων· διόπερ κατασκευασάμενος ἐκ σιδήρου πρίονα, καὶ διὰ τούτου πρίζων τὴν ἐν τοῖς ἔργοις ξυλίνην ὕλην, ἔδοξεν εὔχρηστον εὑρηκέναι μέγα πρὸς τὴν τεκτονικὴν τέχνην. ὁμοίως δὲ καὶ τὸν τόρνον εὑρὼν καὶ ἕτερά τινα φιλοτεχνήματα, δόξαν ἀπηνέγκατο μεγάλην. ὁ δὲ Δαίδαλος φθονήσας τῷ παιδί, καὶ νομίζων αὐτὸν πολὺ τῇ δόξῃ προέξειν τοῦ διδασκάλου, τὸν παῖδα ἐδολοφόνησε. θάπτων δ' αὐτὸν καὶ περικατάληπτος* 10 15 20 25 30 35

γενόμενος, ἐπηρωτήθη τίνα θάπτει, καὶ ἔφησεν ὄφιν κατα-
χωννύειν. θαυμάσαι δ' ἄν τις τὸ παράδοξον, ὅτι διὰ τὸ ζῷον
ἐξ οὗ τοῦ πρίονος ἐνεθυμήθη τὴν κατασκευήν, διὰ τοῦτο καὶ τοῦ
φόνου τὴν ἐπίγνωσιν συνέβη γενέσθαι. κατηγορηθεὶς δὲ καὶ
5 καταδικασθεὶς ὑπὸ τῶν Ἀρεοπαγιτῶν φόνου, τὸ μὲν πρῶτον
ἔφυγεν εἰς ἕνα τῶν κατὰ τὴν Ἀττικὴν δήμων, ἐν ᾧ τοὺς κατοι-
κοῦντας ἀπ' ἐκείνου Δαιδαλίδας ὀνομασθῆναι. μετὰ δὲ ταῦτα IV 77
διαδρὰς εἰς Κρήτην καὶ διὰ τὴν ἐπὶ τῇ τέχνῃ δόξαν θαυμαζό-
μενος, φίλος ἐγένετο Μίνωος τοῦ βασιλέως. κατὰ δὲ τὸν παρα-
10 δεδομένον μῦθον Πασιφάης τῆς Μίνωος γυναικὸς ἐρασθείσης τοῦ
ταύρου, μηχάνημα ποιήσας ὡμοιωμένον βοὶ συνήργησε τῇ Πασι-
φάῃ πρὸς τὴν ἐπιθυμίαν. μυθολογοῦσι γὰρ πρὸ τούτων τῶν
χρόνων Μίνωα κατ' ἐνιαυτὸν συνήθως καθιεροῦν τὸν κάλλιστον
τῶν γενομένων ταύρων τῷ Ποσειδῶνι καὶ θύειν τοῦτον τῷ θεῷ·
15 γενομένου δὲ τότε ταύρου κάλλει διαφέροντος ἕτερον τῶν
ἡττόνων ταύρων θῦσαι· τὸν δὲ Ποσειδῶνα μηνίσαντα τῷ
Μίνῳ ποιῆσαι τὴν γυναῖκα αὐτοῦ Πασιφάην ἐρασθῆναι τοῦ
ταύρου. διὰ δὲ τῆς τούτου φιλοτεχνίας τὴν Πασιφάην μιγεῖσαν
τῷ ταύρῳ γεννῆσαι τὸν μυθολογούμενον Μινώταυρον. τοῦτον
20 δέ φασι διφυῆ γεγονέναι καὶ τὰ μὲν ἀνώτερα μέρη τοῦ σώματος
ἄχρι τῶν ὤμων ἔχειν ταύρου, τὰ δὲ λοιπὰ ἀνθρώπου. τῷ δὲ
τέρατι τούτῳ πρὸς διατροφὴν λέγεται κατασκευάσαι Δαίδαλον
λαβύρινθον, τὰς διεξόδους σκολιὰς ἔχοντα καὶ τοῖς ἀπείροις
δυσευρέτους, ἐν ᾧ τρεφόμενον τὸν Μινώταυρον τοὺς ἐξ Ἀθη-
25 νῶν ἀποστελλομένους ἑπτὰ κόρους καὶ κόρας κατεσθίειν . . . .
τὸν οὖν Δαίδαλον πυθόμενον τὴν ἀπειλὴν τοῦ Μίνωος διὰ
τὴν κατασκευὴν τῆς βοὸς φασὶ φοβηθέντα τὴν ὀργὴν τοῦ βασι-
λέως ἐκ τῆς Κρήτης ἐκπλεῦσαι, συνεργούσης τῆς Πασιφάης καὶ
πλοῖον δούσης πρὸς τὸν ἔκπλουν. μετὰ δὲ τούτου τὸν υἱὸν
30 Ἴκαρον φυγόντα κατενεχθῆναι πρός τινα νῆσον πελαγίαν, πρὸς
ἣ τὸν Ἴκαρον παραβόλως ἀποβαίνοντα πεσεῖν εἰς θάλατταν
καὶ τελευτῆσαι, ἀφ' οὗ καὶ τὸ πέλαγος Ἰκάριον ὀνομασθῆναι
καὶ τὴν νῆσον Ἰκαρίαν κληθῆναι. τὸν δὲ Δαίδαλον ἐκ τῆς
νήσου ταύτης ἐκπλεύσαντα κατενεχθῆναι τῆς Σικελίας πρὸς

3 τούτου codd. em. Wil. 8 [illegible] codd. [illegible] Wil. 16 [illegible] add. D. 31 παραβόλως ἀποβαίνοντα] παραβαίνοντα D

χώραν, ἧς βασιλεύοντα Κώκαλον ἀναλαβεῖν τὸν Δαίδαλον, καὶ διὰ τὴν εὐφυΐαν καὶ δόξαν ποιήσασθαι φίλον ἐπὶ πλέον. τινὲς δὲ μυθολογοῦσι κατὰ τὴν Κρήτην ἔτι Δαιδάλου διατρίβοντος καὶ ὑπὸ τῆς Πασιφάης κρυπτομένου, Μίνωα μὲν τὸν βασιλέα βουλόμενον τιμωρίας ἀξιῶσαι τὸν Δαίδαλον καὶ μὴ 5 δυνάμενον εὑρεῖν, τά τε πλοῖα πάντα τὰ κατὰ τὴν νῆσον ἐρευνᾶν καὶ χρημάτων πλῆθος ἐπαγγέλλεσθαι δώσειν τῷ τὸν Δαίδαλον ἀνευρόντι. ἐνταῦθα τὸν Δαίδαλον ἀπογνόντα τὸν διὰ τῶν πλοίων δρασμόν, κατασκευάσαι παραδόξως πτέρυγας πεφιλοτεχνημένας καὶ διὰ κηροῦ θαυμαστῶς ἠσκημένας. ἐπι- 10 θέντα δὲ ταύτας τῷ τε τοῦ υἱοῦ σώματι καὶ τῷ ἑαυτοῦ παραδόξως ἐκπετασθῆναι καὶ διαδρᾶναι τὸ πλησίον τῆς [Κρήτης] νήσου πέλαγος. καὶ τὸν μὲν Ἴκαρον διὰ τὴν νεότητα μετέωρον τὴν πτῆσιν ποιούμενον πεσεῖν εἰς τὸ πέλαγος, τακέντος διὰ τὸν ἥλιον τοῦ συνέχοντος τὰς πτέρυγας κηροῦ, αὐτὸν δὲ παρὰ 15 τὴν θάλατταν πετόμενον καὶ παρ' ἕκαστον τέγγοντα τὰς πτέρυγας διασωθῆναι παραδόξως εἰς τὴν Σικελίαν. ἀλλὰ περὶ μὲν τούτων εἰ καὶ παράδοξός ἐστιν ὁ μῦθος, ὅμως ἐκρίναμεν μὴ παραλιπεῖν αὐτόν. (IV 78) Δαίδαλος δὲ παρά [τε] τῷ Κωκάλῳ καὶ τοῖς Σικανοῖς διέτριψε πλείω χρόνον, θαυμαζό- 20 μενος ἐπὶ τῇ κατ' τὴν τέχνην ὑπερβολῇ. κατεσκεύασε δ' ἐν τῇ νήσῳ ταύτῃ τινὰ τῶν ἔργων ἃ μέχρι τοῦ νῦν διαμένει. πλησίον μὲν γὰρ τῆς Μεγαρίδος φιλοτέχνως ἐποίησε τὴν ὀνομαζομένην κολυμβήθραν, ἐξ ἧς μέγας ποταμὸς εἰς τὴν πλησίον θάλατταν ἐξερεύγεται καλούμενος Ἀλαβών. κατὰ δὲ τὴν νῦν 25 Ἀκραγαντίνην ἐν τῷ Καμικῷ καλουμένῳ πόλιν ἐπὶ πέτρας οὖσαν πασῶν ὀχυρωτάτην κατεσκεύασε καὶ παντελῶς ἐκ βίας ἀνάλωτον· στενὴν γὰρ καὶ σκολιὰν τὴν ἀνάβασιν αὐτῆς φιλοτεχνήσας ἐποίησε δύνασθαι διὰ τριῶν ἢ τεττάρων ἀνθρώπων φυλάττεσθαι. διόπερ ὁ Κώκαλος ἐν ταύτῃ ποιήσας τὰ βασίλεια καὶ τὰ χρή- 30 ματα κατατιθέμενος ἀνάλωτον εἶχεν αὐτὴν διὰ τῆς ἐπινοίας τοῦ τεχνίτου. τρίτον δὲ σπήλαιον κατὰ τὴν Σελινουντίαν χώραν κατεσκεύασεν, ἐν ᾧ τὴν ἀτμίδα τοῦ κατ' αὐτὴν πυρὸς οὕτως εὐστόχως ἐξέλαβεν ὥστε διὰ τὴν μαλακότητα τῆς θερ-

8. εὑρόντι D. 12. διαδράσαι codd. corr. Dind. Κρήτης del. Wil. 19. τε codd. om. vulg. 21. ἐν codd. ἐπὶ Vogel. 22. νήσῳ] τέχνῃ D. 31. ἔσχεν codd. em. Wil. τὴν ἐπίνοιαν C.

γενόμενος, ἐπηρωτήθη τίνα θάπτει, καὶ ἔφησεν ὄφιν κατα-
χωννύειν. θαυμάσαι δ', ἄν τις τὸ παράδοξον, ὅτι διὰ τὸ ζῷον
ἐξ οὗ τοῦ πρίονος ἐνεθυμήθη τὴν κατασκευήν, διὰ τοῦτο καὶ τοῦ
φόνου τὴν ἐπίγνωσιν συνέβη γενέσθαι. κατηγορηθεὶς δὲ καὶ
5 καταδικασθεὶς ὑπὸ τῶν Ἀρεοπαγιτῶν φόνου, τὸ μὲν πρῶτον
ἔφυγεν εἰς ἕνα τῶν κατὰ τὴν Ἀττικὴν δήμων, ἐν ᾧ τοὺς κατοι-
κοῦντας ἀπ' ἐκείνου Δαιδαλίδας ὀνομασθῆναι. μετὰ δὲ ταῦτα IV 77
διαδρὰς εἰς Κρήτην καὶ διὰ τὴν ἐπὶ τῇ τέχνῃ δόξαν θαυμαζό-
μενος, φίλος ἐγένετο Μίνωος τοῦ βασιλέως. κατὰ δὲ τὸν παρα-
10 δεδομένον μῦθον Πασιφάης τῆς Μίνωος γυναικὸς ἐρασθείσης τοῦ
ταύρου, μηχάνημα ποιήσας ὡμοιωμένον βοΐ συνήργησε τῇ Πασι-
φάῃ πρὸς τὴν ἐπιθυμίαν. μυθολογοῦσι γὰρ πρὸ τούτων τῶν
χρόνων Μίνωα κατ' ἐνιαυτὸν συνήθως καθιεροῦν τὸν κάλλιστον
τῶν γενομένων ταύρων τῷ Ποσειδῶνι καὶ θύειν τοῦτον τῷ θεῷ·
15 γενομένου δὲ τότε ταύρου κάλλει διαφέροντος ἕτερον τῶν
ἡττόνων ταύρων θῦσαι· τὸν δὲ Ποσειδῶνα μηνίσαντα τῷ
Μίνῳ ποιῆσαι τὴν γυναῖκα αὐτοῦ Πασιφάην ἐρασθῆναι τοῦ
ταύρου. διὰ δὲ τῆς τούτου φιλοτεχνίας τὴν Πασιφάην μιγεῖσαν
τῷ ταύρῳ γεννῆσαι τὸν μυθολογούμενον Μινώταυρον. τοῦτον
20 δέ φασι διφυῆ γεγονέναι καὶ τὰ μὲν ἀνώτερα μέρη τοῦ σώματος
ἄχρι τῶν ὤμων ἔχειν ταύρου, τὰ δὲ λοιπὰ ἀνθρώπου. τῷ δὲ
τέρατι τούτῳ πρὸς διατροφὴν λέγεται κατασκευάσαι Δαίδαλον
λαβύρινθον, τὰς διεξόδους σκολιὰς ἔχοντα καὶ τοῖς ἀπείροις
δυσευρέτους, ἐν ᾧ τρεφόμενον τὸν Μινώταυρον τοὺς ἐξ Ἀθη-
25 νῶν ἀποστελλομένους ἑπτὰ κόρους καὶ κόρας κατεσθίειν ....
τὸν οὖν Δαίδαλον πυθόμενον τὴν ἀπειλὴν τοῦ Μίνωος διὰ
τὴν κατασκευὴν τῆς βοός φασι φοβηθέντα τὴν οργὴν τοῦ βασι-
λέως ἐκ τῆς Κρήτης ἐκπλεῦσαι, συνεργούσης τῆς Πασιφάης καὶ
πλοῖον δούσης πρὸς τὸν ἔκπλουν. μετὰ δὲ τούτου τὸν υἱὸν
30 Ἴκαρον φυγόντα κατενεχθῆναι πρός τινα νῆσον πελαγίαν, πρὸς
ᾗ τὸν Ἴκαρον παραβόλως ἀποβαίνοντα πεσεῖν εἰς θάλατταν
καὶ τελευτῆσαι, ἀφ' οὗ καὶ τὸ πέλαγος Ἰκάριον ὀνομασθῆναι
καὶ τὴν νῆσον Ἰκαρίαν κληθῆναι. τὸν δὲ Δαίδαλον ἐκ τῆς
νήσου ταύτης ἐκπλεύσαντα κατενεχθῆναι τῆς Σικελίας πρὸς

3. τούτου codd. em. Wil. 8. ἐν codd. ἐπὶ Wil. 16. ταύρων] τότε add. D. 31. παραβόλως ἀποβαίνοντα] παραβαίνοντα D.

ἀποδοθῆναι, Θήρωνος δυναστεύοντος τῶν Ἀκραγαντίνων. οὐ μὴν ἀλλ' οἱ κατὰ τὴν Σικελίαν Κρῆτες μετὰ τὴν Μίνωος τελευτὴν ἐστασίασαν διὰ τὴν ἀναρχίαν, τῶν δὲ νεῶν ὑπὸ τῶν περὶ τὸν Κώκαλον Σικανῶν ἐμπυρισθεισῶν τὴν μὲν εἰς τὰς πατρίδας ἐπάνοδον ἀπέγνωσαν, κρίναντες δ' ἐν τῇ Σικελίᾳ κατοικεῖν, οἱ μὲν ἐνταῦθα πόλιν ᾤκισαν ἣν ἀπὸ τοῦ βασιλέως αὐτῶν Μινῴαν ὠνόμασαν, οἱ δὲ διὰ τῆς μεσογείου πλανηθέντες καὶ καταλαβόμενοι χωρίον ὀχυρὸν ἔκτισαν πόλιν ἣν ἀπὸ τῆς ἐν τῇ πόλει ῥεούσης πηγῆς ὠνόμασαν Ἔγγυον. ὕστερον δὲ μετὰ τὴν τῆς Τροίας ἅλωσιν Μηριόνου τοῦ Κρητὸς προσενεχθέντος τῇ Σικελίᾳ, προσεδέξαντο τοὺς καταπλεύσαντας Κρῆτας διὰ τὴν συγγένειαν καὶ τῆς πολιτείας μετέδοσαν, ὁρμώμενοι δ' ἐξ ὀχυρᾶς πόλεως καὶ καταπολεμήσαντές τινας τῶν περιοίκων ἱκανὴν κατεκτήσαντο χώραν. ἀεὶ δὲ μᾶλλον αὐξόμενοι, καὶ κατασκευάσαντες ἱερὸν τῶν Μητέρων, διαφόρως ἐτίμων τὰς θεάς, ἀναθήμασι πολλοῖς κοσμοῦντες τὸ ἱερὸν αὐτῶν. ταύτας δ' ἀφιδρυθῆναί φασιν ἐκ τῆς Κρήτης διὰ τὸ καὶ παρὰ τοῖς Κρησὶ τιμᾶσθαι τὰς θεὰς ταύτας διαφερόντως. ||

STEPH. BYZ. s. v. Ἀτάβυρον — ἔστι καὶ Σικελίας Ἀταβύριον ὡς Τίμαιος. κέκληται δὲ τὰ ὄρη ἀπό τινος Τελχῖνος Ἀταβυρίου. ||

DIOG. LA. VIII 2, 9 (66) — Ὁ γέ τοι Τίμαιος ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ — πολλάκις γὰρ αὐτοῦ μνημονεύει (sc. Empedoclis) — φησὶν ἐναντίαν τῇ πολιτείᾳ ἐσχηκέναι γνώμην αὐτὸν φαίνεσθαι· ὅπου δὲ ἀλαζόνα καὶ φίλαυτον ἐν τῇ ποιήσει [ἴδοι τις ἄν]· φησὶ γοῦν

Χαίρετ'· ἐγὼ δ' ὔμμιν θεὸς ἄμβροτος, οὐκέτι θνητός
πωλεῦμαι —

(64) [τὰ δ' αὐτὰ (sc. Empedoclem dominationis non fuisse cupidum) καὶ Τίμαιος εἴρηκε, τὴν αἰτίαν ἅμα παρατιθέμενος τοῦ δημοτικὸν εἶναι τὸν ἄνδρα. φησὶ γὰρ ὅτι κληθεὶς ὑπό τινος τῶν ἀρχόντων καὶ προβαίνοντος τοῦ πότου ὡς τὸ δεῖπνον οὐκ εἰσεφέρετο, τῶν δ' ἄλλων ἡσυχαζόντων μισοπονήρως διατιθεὶς ἐκέλευσεν εἰσφέρειν· ὁ δὲ κεκληκὼς ἀναμένειν ἔφη τὸν τῆς βουλῆς ὑπηρέτην. ὡς δὲ παρεγένετο, ἐγενήθη συμποσίαρχος, τοῦ κεκληκότος δηλονότι καταστήσαντος, ὃς ὑπεγράφετο τυραννίδος ἀρχήν. ἐκέλευσε γὰρ ἢ πίνειν ἢ καταχεῖσθαι τῆς

---

9. διαρρεούσης D. 10. κατὰ libri, corr. Eichstäd

γενόμενος, ἐπηρωτήθη τίνα θάπτει, καὶ ἔφησεν ὄφιν κατα-
χωννύειν. θαυμάσαι δ' ἄν τις τὸ παράδοξον, ὅτι διὰ τὸ ζῷον
ἐξ οὗ τοῦ πρίονος ἐνεθυμήθη τὴν κατασκευήν, διὰ τοῦτο καὶ τοῦ
φόνου τὴν ἐπίγνωσιν συνέβη γενέσθαι. κατηγορηθεὶς δὲ καὶ
5 καταδικασθεὶς ὑπὸ τῶν Ἀρεοπαγιτῶν φόνου, τὸ μὲν πρῶτον
ἔφυγεν εἰς ἕνα τῶν κατὰ τὴν Ἀττικὴν δήμων, ἐν ᾧ τοὺς κατοι-
κοῦντας ἀπ' ἐκείνου Δαιδαλίδας ὀνομασθῆναι. μετὰ δὲ ταῦτα IV 77
διαδρὰς εἰς Κρήτην καὶ διὰ τὴν ἐπὶ τῇ τέχνῃ δόξαν θαυμαζό-
μενος, φίλος ἐγένετο Μίνωος τοῦ βασιλέως. κατὰ δὲ τὸν παρα-
10 δεδομένον μῦθον Πασιφάης τῆς Μίνωος γυναικὸς ἐρασθείσης τοῦ
ταύρου, μηχάνημα ποιήσας ὡμοιωμένον βοΐ συνήργησε τῇ Πασι-
φάῃ πρὸς τὴν ἐπιθυμίαν. μυθολογοῦσι γὰρ πρὸ τούτων τῶν
χρόνων Μίνωα κατ' ἐνιαυτὸν συνήθως καθιεροῦν τὸν κάλλιστον
τῶν γενομένων ταύρων τῷ Ποσειδῶνι καὶ θύειν τοῦτον τῷ θεῷ·
15 γενομένου δὲ τότε ταύρου κάλλει διαφέροντος ἕτερον τῶν
ἡττόνων ταύρων θῦσαι· τὸν δὲ Ποσειδῶνα μηνίσαντα τῷ
Μίνῳ ποιῆσαι τὴν γυναῖκα αὐτοῦ Πασιφάην ἐρασθῆναι τοῦ
ταύρου. διὰ δὲ τῆς τούτου φιλοτεχνίας τὴν Πασιφάην μιγεῖσαν
τῷ ταύρῳ γεννῆσαι τὸν μυθολογούμενον Μινώταυρον. τοῦτον
20 δέ φασι διφυῆ γεγονέναι καὶ τὰ μὲν ἀνώτερα μέρη τοῦ σώματος
ἄχρι τῶν ὤμων ἔχειν ταύρου, τὰ δὲ λοιπὰ ἀνθρώπου. τῷ δὲ
τέρατι τούτῳ πρὸς διατροφὴν λέγεται κατασκευάσαι Δαίδαλον
λαβύρινθον, τὰς διεξόδους σκολιὰς ἔχοντα καὶ τοῖς ἀπείροις
δυσευρέτους, ἐν ᾧ τρεφόμενον τὸν Μινώταυρον τοὺς ἐξ Ἀθη-
25 νῶν ἀποστελλομένους ἑπτὰ κόρους καὶ κόρας κατεσθίειν . . . .
τὸν οὖν Δαίδαλον πυθόμενον τὴν ἀπειλὴν τοῦ Μίνωος διὰ
τὴν κατασκευὴν τῆς βοός φασι φοβηθέντα τὴν οργὴν τοῦ βασι-
λέως ἐκ τῆς Κρήτης ἐκπλεῦσαι, συνεργούσης τῆς Πασιφάης καὶ
πλοῖον δούσης πρὸς τὸν ἔκπλουν. μετὰ δὲ τούτου τὸν υἱὸν
30 Ἴκαρον φυγόντα κατενεχθῆναι πρός τινα νῆσον πελαγίαν, πρὸς
ᾗ τὸν Ἴκαρον παραβόλως ἀποβαίνοντα πεσεῖν εἰς θάλατταν
καὶ τελευτῆσαι, ἀφ' οὗ καὶ τὸ πέλαγος Ἰκάριον ὀνομασθῆναι
καὶ τὴν νῆσον Ἰκαρίαν κληθῆναι. τὸν δὲ Δαίδαλον ἐκ τῆς
νήσου ταύτης ἐκπλεύσαντα κατενεχθῆναι τῆς Σικελίας πρὸς

---

3. *τούτου* codd. em. Wil. 8. *ἐν* codd. *ἐπὶ* Wil. 16. *ταύρων*] *τότε* add. D. 31. *παραβόλως ἀποβαίνοντα*] *παραβαίνοντα* D.

μεγάλης δ' οὔσης δεισιδαιμονίας, οἱ τὰς ἀμφισβητήσεις ἔχοντες, ὅταν ὑπό τινος ὑπεροχῆς κατισχύωνται, τῇ διὰ τῶν ὅρκων τούτων ἀνακρίσει κρίνονται. ἔστι δὲ τοῦτο τὸ τέμενος ἔκ τινων χρόνων ἄσυλον τετηρημένον, καὶ τοῖς ἀτυχοῦσιν οἰκέταις καὶ κυρίοις ἀγνώμοσι περιπεπτωκόσι πολλὴν παρέχεται βοήθειαν· 5 τοὺς γὰρ εἰς τοῦτο καταφυγόντας οὐκ ἔχουσιν ἐξουσίαν οἱ δεσπόται βιαίως ἀπάγειν, καὶ μέχρι τούτου διαμένουσιν ἀσινεῖς, μέχρι ἂν ἐπὶ διωρισμένοις φιλανθρώποις πείσαντες οἱ κύριοι καὶ δόντες διὰ τῶν ὅρκων τὰς περὶ τῶν ὁμολογιῶν πίστεις ἀπαγάγωσι. καὶ οὐδεὶς ἱστορεῖται τῶν δεδωκότων 10 τοῖς οἰκέταις πίστιν ταύτην παραβάς· οὕτω γὰρ ἡ τῶν θεῶν δεισιδαιμονία τοὺς ὀμόσαντας πρὸς τοὺς δούλους πιστοὺς ποιεῖ. ἔστι δὲ καὶ τὸ τέμενος ἐν πεδίῳ θεοπρεπεῖ κείμενον καὶ στοαῖς καὶ ταῖς ἄλλαις καταλύσεσιν ἱκανῶς κεκοσμημένον.

SOLIN p. 56 M. (ign.) *Inter Catinam et Syracusas certamen est de inlustrium 15 fratrum memoria, quorum nomina sibi diversae partes adoptant: si Catinenses audiamus, Anapius fuit et Amphinomus: si quod malunt Syracusae, Emantiam putabimus et Critonem: Catinensis tamen regio causam dedit facto. in quam se cum Aetnae incendia protulissent, iuvenes duo sublatos parentes evexerunt 20 inter flammas inlaesi ignibus. horum memoriam ita posteritas munerata est, ut sepulcri locus nominaretur campus piorum.*

DIOD. IV 84 Νυνὶ δὲ περὶ Δάφνιδος πειρασόμεθα διελθεῖν τὰ μυθολογούμενα. Ἡραῖα γὰρ ὄρη κατὰ τὴν Σικελίαν ἐστίν, ἅ φασι κάλλει τε καὶ φύσει καὶ τόπων ἰδιότητι πρὸς θερινὴν ἄνεσιν 25 καὶ ἀπόλαυσιν εὖ πεφυκέναι. πολλάς τε γὰρ πηγὰς ἔχειν τῇ γλυκύτητι τῶν ὑδάτων διαφόρους καὶ δένδρεσι παντοίοις πεπληρῶσθαι. εἶναι δὲ καὶ δρυῶν μεγάλων πλῆθος, φερουσῶν καρπὸν τῷ μεγέθει διαλλάττοντα, διπλασιάζοντα τῶν ἐν ταῖς ἄλλαις χώραις φυομένων. ἔχειν δὲ καὶ τῶν ἡμέρων καρ- 30 πῶν, αὐτομάτως ἀμπέλου τε πολλῆς φυομένης καὶ μήλων ἀμυθήτου πλήθους. διὸ καὶ στρατόπεδόν ποτε Καρχηδονίων ὑπὸ λιμοῦ πιεζόμενον διαθρέψαι, παρεχομένων τῶν ὀρῶν

---

3. ἀναιρέσει codd. em. Madvig. 8. οἱ κύριοι — πίστεις om. P. 10. ἀπαλλαγῶσι codd. em. Madvig. 25. ἰδιότησιν D. ἰδιότητι vulg. 28. φερόντων D. 30. ἔτι δὲ Wil. 31. αὐτομάτων codd. em. Wil.

πολλαῖς μυριάσι χορηγίαν εἰς τροφὴν ἀνέκλειπτον. ἐν ταύτῃ δ' οὖν τῇ χώρᾳ συναγκείας δένδρων οὔσης θεοπρεποῦς καὶ Νύμφαις ἄλσους ἀνειμένου μυθολογοῦσι γεννηθῆναι τὸν ὀνομαζόμενον Δάφνιν, Ἑρμοῦ μὲν καὶ Νύμφης υἱόν, ἀπὸ δὲ τοῦ πλήθους καὶ τῆς πυκνότητος τῆς φυομένης δάφνης ὀνομασθῆναι Δάφνιν. τοῦτον δ' ὑπὸ Νυμφῶν τραφέντα καὶ βοῶν ἀγέλας παμπληθεῖς κεκτημένον, τούτων ποιεῖσθαι πολλὴν ἐπιμέλειαν, || βουκολῶν δὲ κατὰ τὴν Αἴτνην χειμῶνός τε καὶ θέρους ἠγραύλει. || ἀφ' ἧς αἰτίας βουκόλον αὐτὸν ὀνομασθῆναι. φύσει δὲ διαφόρῳ πρὸς εὐμέλειαν κεχορηγημένον ἐξευρεῖν τὸ βουκολικὸν ποίημα καὶ μέλος, ὃ μέχρι τοῦ νῦν κατὰ τὴν Σικελίαν τυγχάνει διαμένον ἐν ἀποδοχῇ. μυθολογοῦσι δὲ τὸν Δάφνιν μετὰ τῆς Ἀρτέμιδος κυνηγεῖν ὑπηρετοῦντα τῇ θεῷ κεχαρισμένως, καὶ διὰ τῆς σύριγγος καὶ βουκολικῆς μελῳδίας τέρπειν αὐτὴν διαφερόντως. λέγουσι δ' αὐτοῦ μίαν τῶν Νυμφῶν || Ἐχεναΐδα ἐρασθεῖσαν προειπεῖν, ἐὰν ἄλλῃ τινὶ πλησιάσῃ στερήσεσθαι τῆς ὁράσεως· || ὁ δὲ χρόνον μέν τινα καρτερῶς ἀντεῖχον καίπερ οὐκ ὀλίγων ἐπιμαινομένων αὐτῷ, ὕστερον δὲ μία τῶν κατὰ τὴν Σικελίαν βασιλίδων οἴνῳ πολλῷ δηλησαμένη αὐτὸν ἤγαγεν εἰς ἐπιθυμίαν αὐτῇ μιγῆναι. καὶ οὕτως ἐκ τοῦδε ὁμοίως Θαμύρᾳ τῷ Θρᾳκὶ δι' ἀφροσύνην ἐπεπήρωτο.

PARTHEN. XXIX — PARTHEN. X — PARTHEN. X

Φησὶν εἶναι ὁ Πολύκριτος ὁ τὰ Σικελικὰ γεγραφὼς ἐν ἔπεσιν ἔν τινι τόπῳ τῆς μεσογείου λιμνίον τι ἔχον ὅσον ἀσπίδος τὸ περίμετρον, τοῦτο δ' ἔχει ὕδωρ διαυγὲς μέν, μικρῷ δὲ θολερώτερον. εἰς τοῦτ' οὖν ἄν τις εἰσβῇ λούσασθαι χρείαν ἔχων, αὔξεται εἰς εὖρος, ἐὰν δὲ καὶ δεύτερος, μᾶλλον πλατύνεται· τὸ δὲ πέρας ἕως εἰς πεντήκοντα ἀνδρῶν ὑποδοχὴν μεῖζον γενόμενον διευρύνεσθαι. ἐπειδὰν δὲ τοῦτον τὸν ἀριθμὸν λάβῃ, ἐκ βάθους πάλιν ἀνοιδοῦν ἐκβάλλειν μετέωρα τὰ σώματα τῶν λουομένων ἔξω ἐπὶ τὸ ἔδαφος· ὡς δ' ἂν τοῦτο γένηται, εἰς τὸ ἀρχαῖον πάλιν σχῆμα τῆς περιμέτρου καθίσταται. οὐ μόνον δ' ἐπὶ ἀνθρώπων τοῦτο περὶ αὐτὸ γίνεται, ἀλλὰ καὶ

ΘΑΥΜ. ΑΚ. 113

1 χορηγίας D. 2. δὲ codd. δ' οὖν Wil. 6 Parthen. 29 σύριγγι δ' ἦν δεξιὸς χρήσασθαι καὶ τὴν ἰδέαν ἐκπρεπής. 14 αὐτὸν D. 20. αὐτῷ cod. αὐτῇ Heyne. οὗτος cod. οὕτως Heyne. 22 εἶναι om. S. idem sermonem Timaei fingit rectum. 26. δεύτερον codd corr. Sylburg

118 ἄν τι τετράπουν εἰσβῇ, τὸ αὐτὸ πάσχει. — ἐν δὲ τῇ ἐπικρατείᾳ τῶν Καρχηδονίων φασὶν ὄρος εἶναι, ὃ καλεῖται Οὐράνιον, παντοδαπῆς μὲν ὕλης γέμον, πολλοῖς δὲ διαπεποικιλμένον ἄνθεσιν, ὥστε τοὺς συνεχεῖς τόπους ἐπὶ πολὺ μεταλαμβάνοντας τῆς εὐωδίας αὐτοῦ ἡδίστην τινὰ τοῖς ὁδοιποροῦσι 5 προσβάλλειν τὴν ἀναπνοήν. πρὸς δὴ τοῦτον τὸν τόπον κρήνην ἐλαίου φασὶν εἶναι, τὴν δὲ ὀσμὴν ἔχειν τῆς κέδρου τοῖς ἀποπτίσμασιν ὁμοίαν. δεῖν δέ φασι τὸν προσιόντα πρὸς αὐτὴν ἁγνὸν εἶναι, ὥστε ἀσφαλῶς ἀρύεσθαι, καὶ τούτου γενομένου πλεῖον ἀναβλύζειν αὐτὴν τὸ ἔλαιον. φασὶ καὶ ταύτης 10 τῆς κρήνης πλησίον εἶναί τινα πέτραν αὐτοφυῆ, μεγάλην τῷ μεγέθει. ταύτην οὖν λέγουσιν, ἐπειδὰν μὲν ᾖ θέρος, φλόγα ἀναπέμπειν πυρός, χειμῶνος δὲ γενομένου ἐκ τοῦ αὐτοῦ τόπου κρουνὸν ὕδατος ἀναρραίνειν οὕτω ψυχροῦ ὥστε χιόνι συμβαλλόμενον μηδὲν διαφέρειν. καὶ τοῦτό φασιν οὐκ ἀπόκρυφον 15 οὐδὲ μικρὸν χρόνον φαίνεσθαι, ἀλλὰ τὸ μὲν πῦρ ἀνιέναι τὴν θερείαν ὅλην, τὸ δὲ ὕδωρ πάντα τὸν χειμῶνα.

DIOD. IV 85 . . . περὶ δὲ Ὠρίωνος τὰ μυθολογούμενα νῦν διέξιμεν. λέγεται γὰρ τοῦτον σώματος μεγέθει καὶ ῥώμῃ πολὺ τῶν μνημονευομένων ἡρώων ὑπεράγοντα φιλοκύνηγον γενέσθαι καὶ 20 κατασκευάσαι μεγάλα ἔργα διὰ τὴν ἰσχὺν καὶ φιλοδοξίαν. κατὰ μὲν γὰρ τὴν Σικελίαν κατασκευάσαι Ζάγκλῳ τῷ τότε βασιλεύοντι τῆς τότε μὲν ἀπ' αὐτοῦ Ζάγκλης νῦν δὲ Μεσσήνης ὀνομαζομένης ἄλλα τε καὶ τὸν λιμένα προσχώσαντα τὴν ὀνομαζομένην Ἀκτὴν ποιῆσαι. 25

IVSTIN. 1, 1–6. *Siciliam ferunt angustis quondam faucibus Italiae adhaesisse diruptamque velut a corpore maiore impetu superi maris, quod toto undarum onere illuc vehitur. Est autem terra ipsa tenuis ac fragilis et cavernis quibusdam fistulisque ita penetrabilis, ut ventorum tota ferme flatibus pateat; nec* 30 *non et ignibus generandis nutriendisque soli ipsius naturalis materia. Quippe intrinsecus stratum sulphure et bitumine traditur, quae res facit, ut spiritu cum igne interiore luctante*

9. ὥστε ἀσφ. ἀρ. post αὐτὴν τ. ἔλ. codd. transposuit Wil. 16. φαίνεσθαι] γίνεσθαι Wil. 27. *direptamque, direm[p]tamque* codd. corr. Scheffer. 33. *interiora, in interiora, inter interiora, inter interna* codd.

κεφαλῆς. τότε μὲν οὖν ὁ Ἐμπεδοκλῆς ἡσύχασε· τῇ δ' ὑστεραίᾳ εἰσαγαγὼν εἰς δικαστήριον ἀπέκτεινε καταδικάσας ἀμφοτέρους, τόν τε κλήτορα καὶ τὸν συμποσίαρχον.]

Ὀδύσσεια ἔστιν ἄκρα καλουμένη πλησίον Παχύνου· ἔνθα ὁ Ὀδυσσεὺς . . . . ἱδρύσατο ἱερὸν Ἑκάτης ἀφ' ἑαυτοῦ τὴν ἄκραν καλέσας Ὀδύσσειαν· ἀνέστησε δὲ καὶ κενοτάφιον ἐκεῖσε || τῆς Ἑκάβης, δειματούμενος ὑπ' αὐτῆς ἐν ταῖς νυξί, διὰ τὸ πρῶτον αὐτὸν κατάρξαι τοῦ καταλεύσματος τοῦ εἰς αὐτὴν ὑπὸ Ἑλλήνων γεγονότος. || (5) (* ΣΧ. ΛΥΚ. 1030) (ΣΧ. ΛΥΚ. 1181)

Ἐπεὶ δὲ περὶ τῶν θεῶν τούτων [sc. Παλικῶν] ἐμνήσθημεν οὐκ ἄξιόν ἐστι παραλιπεῖν τὴν περὶ τὸ ἱερὸν ἀρχαιότητά τε καὶ [τὴν] ἁγιστείαν καὶ τὸ σύνολον τὸ περὶ τοὺς ὀνομαζομένους κρατῆρας ἰδίωμα. μυθολογοῦσι γὰρ τὸ τέμενος τοῦτο διαφέρειν τῶν ἄλλων ἀρχαιότητι καὶ σεβασμῷ, πολλῶν ἐν αὐτῷ παραδόξων παραδεδομένων. πρῶτον μὲν γὰρ κρατῆρές εἰσι τῷ μεγέθει μὲν οὐκ ἄγαν μεγάλοι, *πηγὰς δ' ἐξαισίους ἀναβάλλοντες ἐξ ἀμυθήτου [τε] βυθοῦ καὶ παραπλήσιον ἔχοντες τὴν φύσιν τοῖς λέβησι τοῖς ὑπὸ πυρὸς πολλοῦ καιομένοις καὶ τὸ ὕδωρ διάπυρον ἀναβάλλουσιν. ἔμφασιν μὲν οὖν ἔχει τὸ ἀναβαλλόμενον ὕδωρ ὡς ὑπάρχει διάπυρον, οὐ μὴν ἀκριβῆ τὴν ἐπίγνωσιν ἔχει διὰ τὸ μηδένα τολμᾶν ἅψασθαι τούτου· τηλικαύτην γὰρ ἔχει κατάπληξιν ἡ τῶν ὑγρῶν ἀναβολὴ ὥστε δοκεῖν ὑπὸ θείας τινὸς ἀνάγκης γενέσθαι τὸ συμβαῖνον. τὸ μὲν γὰρ ὕδωρ θείου κατάκορον τὴν ὄσφρησιν ἔχει, τὸ δὲ χάσμα βρόμον πολὺν καὶ φοβερὸν ἐξίησι· τὸ δὲ τούτων παραδοξότερον, οὔτε ὑπερεκχεῖται τὸ ὑγρὸν οὔτε ἀπολείπει, κίνησιν δὲ καὶ βίαν ῥεύματος εἰς ὕψος ἐξαιρόμενον ἔχει θαυμάσιον. τοιαύτης δὲ θεοπρεπείας οὔσης περὶ τὸ τέμενος, οἱ μέγιστοι τῶν ὅρκων ἐνταῦθα συντελοῦνται, καὶ τοῖς ἐπιορκήσασι σύντομος ἡ τοῦ δαιμονίου κόλασις ἀκολουθεῖ· τινὲς γὰρ τῆς ὁράσεως στερηθέντες τὴν ἐκ τοῦ τεμένους ἄφοδον ποιοῦνται. (10) (DIOD. XI 89) (15) (20) (25) (30)

5. post Ὀδυσσεὺς secuntur verba δειματούμενος καθ' ὕπνους. 12. τὴν del. Wil. ἀπιστίαν codd. corr. Wil. 15. παραδεδομένων] cum nonnullis libris γεγενημένων Dind. 16. πηγὰς P σπινθῆρας vulg. utrumque glossema est pro voce quadam deperdita: Wil. 17. τε P. δὲ vulg. del. Wil. 24. γὰρ P. om. cett. κατακόρου codd. em. Hemsterhuys in Steph. Thes. s. v. 27. ἐξαιρομένην codd. ἐξαιρομένου Reiske. corr. Wil.

ἀνάρροιαν, οὔτε ἀκούειν οὐδὲν ἑρπετὸν οὐθ' ὁρᾶν ὑπομένειν, φεύγειν δὲ πάντα πρὸς τὰς ὑπερκειμένας ὑπωρείας. λέγοντος δὲ τοῦ κλύδωνος τὰς δίνας μετεώρους φέρεσθαι ποικίλας οὕτω τὰς ἀναστροφὰς ποιουμένας, ὥστε δοκεῖν πρηστήρων ἢ τινων ἄλλων μεγάλων ὄφεων σπειράμασι παρομοίους τὰς κινήσεις ἀποτελεῖν. 5

IVSTIN. IV 1, 11—18

Accedunt vicini et perpetui Aetnae montis ignes et insularum Aeolidum, velut ipsis undis alatur incendium; neque enim in tam angustis terminis aliter durare tot saeculis tantus ignis potuisset, nisi et humoris nutrimentis aleretur. Hinc 10 *igitur fabulae Scyllam et Charybdin peperere, hinc latratus auditus, hinc monstri credita simulacra, dum navigantes magnis verticibus pelagi desidentis exterriti latrare putant undas, quas sorbentis aestus vorago conlidit. Eadem causa etiam Aetnae montis perpetuos ignes facit. Nam aquarum* 15 *ille concursus raptum secum spiritum in imum fundum trahit atque ibi suffocatum tam diu tenet, donec per spiramenta terrae diffusus nutrimenta ignis incendat. Iam ipsa Italiae Siciliaeque vicinitas, iam promuntoriorum altitudo ipsa ita similis est, ut quantum nunc admirationis, tantum antiquis terroris* 20 *dederit, credentibus, coeuntibus in se promuntoriis ac rursum discedentibus solida intercipi absumique navigia.* || *Πλαγκταὶ πέτραι ἐν τῷ πορθμῷ εἰσιν, ὡς Τίμαιος . . .* || *Neque hoc ab antiquis in dulcedinem fabulae compositum, sed metu et admiratione transeuntium. Ea est enim procul inspicientibus* 25 *natura loci, ut sinum maris, non transitum putes, quocum accesseris, discedere ac seiungi promuntoria quae ante iuncta fuerint arbitrere.*

SCHOL. AP. RH. IV 786

ΘΑΥΜ. ἈΚ. 111

Ἐν τῇ ἄκρᾳ τῆς Σικελίας τῇ καλουμένῃ Πελωριάδι τοσοῦτον γίνεσθαι κρόκον, ὥστε παρά τισι μὲν τῶν ἐν ἐκείνοις 30 *τοῖς τόποις κατοικούντων μὴ γνωρίζεσθαι Ἑλλήνων ποῖόν τί ἐστι τὸ ἄνθος, ἐκ δὲ τῆς Πελωριάδος ἁμάξας κατακομίζειν με-*

---

1. *οὐδὲ — οὐδ'* cod. em. Wil. 2. *ὑποκειμένας* cod. em. Wil. 3. *φαίνεσθαι* S: 5. *σπειράματι* cod. em. Sylburg. 32. *ἐπὶ* cod. corr. Wil.

γάλας τοῖς βουλομένοις, καὶ κατὰ τὴν ἐαρινὴν ὥραν τὰς στρωμνὰς καὶ τὰς σκηνὰς ἐκ πρόνου κατασκευάζειν.

Λογγοῦρος . . λιμὴν Σικελίας. * ΣΧ. ΙΥΚ. ...

AEOLIDES
et circumiacentes insulae.

DIOD V 7

Εἰσὶ (sc. Aeolides) δ' εἰσὶ τὸν μὲν ἀριθμὸν ἑπτά, προσηγορίας δ' ἔχουσι ταύτας, Στρογγύλη καὶ Εὐώνυμος, ἔτι δὲ Διδύμη καὶ Φοινικώδης καὶ Ἐρικώδης, πρὸς δὲ τούτοις Ἱερὰ Ἡφαίστου καὶ Λιπάρα, καθ' ἣν ὁμώνυμος πόλις καθίδρυται. κεῖνται δ' αὗται μεταξὺ Σικελίας καὶ Ἰταλίας ἐπ' εὐθείας ἀπὸ πορθμοῦ [καὶ τῆς πρὸς ἕω] πρὸς δυσμάς. ἀπέχουσι δὲ τῆς Σικελίας ὡς ἑκατὸν πεντήκοντα σταδίους, καὶ τὸ μέγεθός εἰσιν ἀλλήλαις παραπλήσιαι· ἡ δὲ μεγίστη αὐτῶν ἐστι τὴν περίμετρον σταδίων ὡς ἑκατὸν πεντήκοντα. αὗται δὲ πᾶσαι πυρὸς ἐσχήκασιν ἀναφυσήματα μεγάλα, ὧν κρατῆρες οἱ γεγενημένοι καὶ τὰ στόμια μέχρι τοῦ νῦν εἰσι φανερά. ἐν δὲ τῇ Στρογγύλῃ καὶ τῇ Ἱερᾷ μέχρι τοῦ νῦν ἐκ τῶν χασμάτων ἐκπίπτει πνεύματος μέγεθος καὶ βρόμος ἐξαίσιος· ἀναφυσᾶται δὲ καὶ ἄμμος καὶ λίθων διαπύρων πλῆθος, καθάπερ ἔστιν ὁρᾶν καὶ περὶ τὴν Αἴτνην γινόμενον. λέγουσι γάρ τινες ἐκ τούτων τῶν νήσων ὑπονόμους εἶναι κατὰ γῆς μέχρι τῆς Αἴτνης καὶ τοὺς ἐπ' ἀμφότερα στομίοις συντετρημμένους· διὸ καὶ κατὰ τὸ πλεῖστον ἐναλλὰξ καίεσθαι τοὺς ἐν ταύταις ταῖς νήσοις κρατῆρας τῶν κατὰ τὴν Αἴτνην. φασὶ δὲ τὰς Αἰόλου νήσους τὸ μὲν παλαιὸν ἐρήμους γεγονέναι, μετὰ δὲ ταῦτα τὸν ὀνομαζόμενον Λίπαρον, Αὔσονος ὄντα τοῦ βασιλέως υἱόν, ὑπὸ τῶν ἀδελφῶν καταστασιασθῆναι, κυριεύσαντα δὲ νεῶν μακρῶν καὶ στρατιωτῶν ἐκ τῆς Ἰταλίας φυγεῖν εἰς τὴν ἀπὸ τούτου

17. καὶ τῆς πρὸς ἕω glossema videtur esse. 20 ὡς ἑκατὸν πεντήκοντα σταδίων D de numero iure dubitat Wil. collato priore l. 18.

STEPH. BYZ. *Λιπάραν ὀνομασθεῖσαν· ‖ ἡ Μελιγουνὶς ἐκαλεῖτο· ‖ ἐν ταύτῃ δὲ τὴν ἐπώνυμον αὐτοῦ πόλιν κτίσαι, καὶ τὰς ἄλλας νήσους τὰς προειρημένας γεωργῆσαι. τούτου δὲ γεγηρακότος Αἴολον τὸν Ἱππότου μετά τινων παραβαλόντα εἰς τὴν Λιπάραν τὴν τοῦ Λιπάρου θυγατέρα γῆμαι Κυάνην· καὶ τοὺς λαοὺς κοινῇ* 5 *μετὰ τῶν ἐγχωρίων πολιτεύεσθαι ποιήσας ἐβασίλευσε τῆς νήσου.*

* SCHOL. AEN. I 52 *Aeolus Hippotae . . . filius. qui cum immineret bellum, quo Tyrrhenus, Lipari frater, Peloponnesum vastare proposuisset, missus ab Agamemnone, ut freta tueretur, pervenit ad Liparum, qui supra dictas insulas regebat imperio, factaque* 10 *amicitia Cyanam filiam eius in matrimonium sumpsit et Strongylam insulam in qua maneret accepit.*

DIOD. l. c. *Τοῦ δὲ Λιπάρου τῆς Ἰταλίας ἐπιθυμοῦντος συγκατεσκεύασεν αὐτῷ τοὺς περὶ τὸ Σύρρεντον τόπους, ὅπου βασιλεύσας καὶ μεγάλης ἀποδοχῆς τυχὼν ἐτελεύτησε· ταφεὶς δὲ μεγαλοπρεπῶς* 15 *τιμῶν ἔτυχεν ἡρωικῶν παρὰ τοῖς ἐγχωρίοις. ὁ δ' Αἴολος οὗτός ἐστι πρὸς ὃν μυθολογοῦσι τὸν Ὀδυσσέα κατὰ τὴν πλάνην ἀφικέσθαι.* ‖ SCHOL. DION. 461 *Αἰόλος ἀνὴρ ἐγένετο πολυχρόνιος . .* ‖ *γενέσθαι δ' αὐτόν φασιν εὐσεβῆ καὶ δίκαιον, ἔτι δὲ καὶ πρὸς τοὺς ξένους φιλάνθρωπον· πρὸς δὲ τούτοις τὴν τῶν ἱστίων χρείαν* 20 *τοῖς ναυτικοῖς ἐπεισηγήσασθαι, καὶ ἀπὸ [τῆς] τοῦ πυρὸς προσημασίας παρατετηρηκότα προλέγειν τοὺς ἐγχωρίους ἀνέμους εὐστόχως, ἐξ οὗ ταμίαν αὐτὸν εἶναι τῶν ἀνέμων ὁ μῦθος ἀνέδειξε· διὰ δὲ τὴν ὑπερβολὴν τῆς εὐσεβείας φίλον τῶν θεῶν ὀνομασθῆναι.* 25

V 8 *Τοῦ δ' Αἰόλου υἱοὺς γενέσθαι τὸν ἀριθμὸν ἕξ, Ἀστύοχον καὶ Ξοῦθον καὶ Ἀνδροκλέα, πρὸς δὲ τούτοις Φεραίμονα καὶ Ἰόκαστον καὶ Ἀγάθυρνον· πάντας δὲ τούτους διά τε τὴν τοῦ πατρὸς δόξαν καὶ διὰ τὰς ἀρετὰς ἀποδοχῆς μεγάλης τυχεῖν· τούτων δ' Ἰόκαστος μὲν τῆς Ἰταλίας ἀντεχόμενος ἐβασίλευσε* 30 *τῆς παραλίας μέχρι τῶν κατὰ τὸ Ῥήγιον* ‖ SCHOL. DION. 461 *πόλιν πρώην Ἐρυθρὰν καλουμένην* ‖ *τόπων, Φεραίμων δὲ καὶ Ἀνδροκλῆς ἐδυ-*

---

4. *τήν τε* D. *τήν τε τοῦ Λ. θ. γ. Κυάνην καὶ τ. λ. κ. μ. τ. ἐ. π. ποιήσαντα βασιλεῦσαι* Wil. addens: „nisi in excerpendo peccavit Diodorus.“ 13. *τῷ . . Λιπάρῳ . . ἐπιθυμοῦντι* codd. em. Vogel. 21. *τῆς* del. Wil.

frequenter et compluribus locis nunc flammas, nunc vaporem, nunc fumum eructet. Inde denique Aetnae montis per tot saecula durat incendium. Et ubi acrior per spiramenta cavernarum ventus incubuit, harenarum moles egeruntur. Proximum
5 *Italiae promuntorium* Regium *dicitur, ideo quia Graece ,abruptum' hoc nomine pronuntiatur. Nec mirum, si fabulosa est loci huius antiquitas, in quem res tot coiere mirae.*

ΘΑΥΜ. ἈΚ. 130

Περὶ δὲ τοῦ πορθμοῦ τῆς Σικελίας καὶ ἄλλοι μὲν πλείους γεγράφασι καὶ οὗτος [scil. Polycritus] *δέ φησι συμβαίνειν*
10 *τερατῶδες. ἐκ γὰρ τοῦ Τυρρηνικοῦ πελάγους πολλῷ ῥοίζῳ φερόμενον τὸν κλύδωνα προσβάλλειν πρὸς ἀμφότερα τὰ ἀκρωτήρια, τὸ μὲν τῆς Σικελίας, τὸ δὲ τῆς Ἰταλίας, τὸ προσαγορευόμενον Ῥήγιον, καὶ φερόμενον ἐκ μεγάλου πελάγους εἰς στενὸν συγκλείεσθαι, τούτου δὲ γινομένου κῦμα μετέωρον αἴρειν σὺν*
15 *πολλῷ βρόμῳ *ἐπὶ πάνυ πολὺν τόπον τῆς ἀναφορᾶς, ὥστε τοῖς μακρὰν ἀπέχουσι σύνοπτον εἶναι τὸν μετεωρισμόν, οὐχ ὅμοιον φαινόμενον θαλάσσης ἀναφορᾷ, λευκὸν δὲ καὶ ἀφρῶδες, παραπλήσιον δὲ τοῖς συρμοῖς τοῖς γινομένοις ἐν τοῖς ἀνυπερβλήτοις χειμῶσι. καί ποτε μὲν ἀλλήλοις συμπίπτειν ἐπ' ἀμφο-*
20 *τέρων τῶν ἀκρωτηρίων τοὺς κλύδωνας, καὶ ποιεῖν συγκλυσμὸν ἄπιστον μὲν διηγεῖσθαι, ἀνυπομόνητον δὲ τῇ ὄψει θεάσασθαι· ποτὲ δὲ διισταμένοις ἐκ τῆς πρὸς ἀλλήλους συρράξεως οὕτω βαθεῖαν καὶ φρικώδη τὴν ἄποψιν ποιεῖν τοῖς ἐξ ἀνάγκης θεωμένοις, ὥστε πολλοὺς* [*μὲν*] *μὴ κρατεῖν ἑαυτῶν, ἀλλὰ πίπ-*
25 *τειν σκοτουμένους ὑπὸ δέους. ἐπειδὰν δὲ προσπεσὸν τὸ κῦμα πρὸς ὁποτερονοῦν τῶν τόπων καὶ μετεωρισθὲν ἕως τῶν ἄκρων πάλιν εἰς τὴν ὑπορρέουσαν θάλασσαν κατενεχθῇ, τότε δὴ πάλιν σὺν πολλῷ μὲν βρυχηθμῷ, μεγάλαις δὲ καὶ ταχείαις δίναις τὴν θάλασσαν ἀναζεῖν καὶ μετεωρίζεσθαι κυκωμένην ἐκ βυθῶν,*
30 *παντοδαπὰς δὲ χρόας μεταλλάσσειν· ποτὲ μὲν γὰρ ζοφεράν, ποτὲ δὲ κυανῆν, πολλάκις δὲ πορφυρίζουσαν φαίνεσθαι. τὸν δὲ βρόμον καὶ τὸ μῆκος αὐτῆς, ἔτι δὲ πρὸς τούτοις τὴν*

---

2. *inde — incndium* del. Nipperdey. 5. *abrupta* codd. corr. Rühl ex Isid. *or.* XIII 8, 3. 15. *ἀνωφορᾶς* cod. edd. locus certe corruptus est. 17. *ἀφρῷ παραπλήσιον· ἐν δὲ τοῖς σεισμοῖς* S^a. 20. *ποιεῖν ποτὲ μὲν* S^a. 24. *μὲν* del. Wil. 31. *διαφαίνεσθαι* cod. corr. Wil. 32. *δρόμον* cod. em. Wil.

οἰκείους τοῦ Πεντάθλου Γόργον καὶ Θέστορα καὶ Ἐπιθερσίδην, ἀπέπλεον διὰ τοῦ Τυρρηνικοῦ πελάγους. προσπλευσάντων δ' αὐτῶν τῇ Λιπάρᾳ καὶ φιλόφρονος ἀποδοχῆς τυχόντων, ἐπείσθησαν κοινῇ μετὰ τῶν ἐγχωρίων κατοικῆσαι τὴν Λιπάραν, ὄντων τῶν ἀπ' Αἰόλου περιλελειμμένων ὡς πεντακοσίων. 5 *ὕστερον δὲ τῶν Τυρρηνῶν λῃστευόντων τὰ κατὰ θάλατταν πολεμούμενοι κατεσκευάσαντο ναυτικὸν, καὶ διελόμενοι σφᾶς αὐτοὺς οἱ μὲν ἐγεώργουν τὰς νήσους κοινὰς ποιήσαντες, οἱ δὲ πρὸς τοὺς λῃστὰς ἀντετάττοντο· καὶ τὰς οὐσίας δὲ κοινὰς ποιησάμενοι καὶ ζῶντες κατὰ συσσίτια, διετέλεσαν ἐπί τινας* 10 *χρόνους κοινωνικῶς βιοῦντες. ὕστερον δὲ τὴν μὲν Λιπάραν, καθ' ἣν καὶ ἡ πόλις ἦν, διενείμαντο, τάς δ' ἄλλας ἐγεώργουν κοινῇ. τὸ δὲ τελευταῖον πάσας τὰς νήσους εἰς εἴκοσι ἔτη διελόμενοι πάλιν κληρουχοῦσιν, ὅταν ὁ χρόνος οὗτος διέλθῃ. μετὰ δὲ ταῦτα πολλαῖς ναυμαχίαις ἐνίκησαν τοὺς Τυρρηνούς,* 15 *καὶ ἀπὸ τῶν λαφύρων πλεονάκις ἀξιολόγους δεκάτας ἀνέθεσαν εἰς Δελφούς.*

ΘΑΥΜ. ἈΚ. 101 *Ἐν μιᾷ τῶν ἑπτὰ νήσων τῶν Αἰόλου καλουμένων, ἣ καλεῖται Λιπάρα, τάφον εἶναι μυθολογοῦσι, περὶ οὗ καὶ ἄλλα μὲν πολλὰ καὶ τερατώδη λέγουσι, τοῦτο δ' ὅτι οὐκ ἀσφαλές* 20 *ἐστι προσελθεῖν πρὸς ἐκεῖνον τὸν τόπον τῆς νυκτὸς συμφωνοῦσιν· ἐξακούεσθαι γὰρ τυμπάνων καὶ κυμβάλων ἦχον γέλωτά τε μετὰ θορύβου καὶ κροτάλων ἐναργῶς. λέγουσι δέ τι τερατωδέστερον γεγονέναι περὶ τὸ σπήλαιον· πρὸ ἡμέρας γὰρ ἐγκοιμηθῆναί τινα ἐν αὐτῷ οἰνωμένον, καὶ τοῦτον ὑπὸ τῶν* 25 *οἰκετῶν ζητούμενον ἐφ' ἡμέρας τρεῖς διατελέσαι, τῇ δὲ τετάρτῃ εὑρεθέντα ὡς νεκρὸν ἀποκομισθῆναι ὑπὸ τῶν οἰκείων εἰς τὸν ἴδιον τάφον, καὶ τῶν νομιζομένων τυχόντα πάντων ἐξαίφνης ἀναστῆναι καὶ διηγεῖσθαι τὰ καθ' ἑαυτὸν συμβεβηκότα. τοῦτο μὲν οὖν ἡμῖν φαίνεται μυθωδέστερον· ὅμως μέντοι ἔδει μὴ* 30 *παραλιπεῖν ἀμνημόνευτον αὐτό, τῶν περὶ τὸν τόπον ἐκεῖνον τὴν ἀναγραφὴν ποιούμενον.*

ΘΑΥΜ. ἈΚ. 132 *Ἐν μιᾷ τῶν Αἰόλου προσαγορευομένων νήσων πλῆθός τί φασι γενέσθαι φοινίκων, ὅθεν καὶ Φοινικώδη καλεῖσθαι.*

---

3. *φιλοφρόνως* codd. corr. Bekker. 15. *τοὺς* om. D C. 34. *Φοινικοῦσσαν* malebat Sylburg.

γάλας τοὺς βουλομένους, καὶ κατὰ τὴν ἐαρινὴν ὥραν τὰς στρωμνὰς καὶ τὰς σκηνὰς ἐκ κρόκου κατασκευάζειν.

Λογγαῦρος . . λιμὴν Σικελίας. * ΣΧ. ΛΥΚ. 866

5

AEOLIDES

10 et circumiacentes insulae.

Αὗται (sc. Aeolides) δ' εἰσὶ τὸν μὲν ἀριθμὸν ἑπτά, DIOD. V 7 προσηγορίας δ' ἔχουσι ταύτας, Στρογγύλη καὶ Εὐώνυμος, ἔτι δὲ Διδύμη καὶ Φοινικώδης καὶ Ἐρικώδης, πρὸς δὲ 15 τούτοις Ἱερὰ Ἡφαίστου καὶ Λιπάρα, καθ' ἣν ὁμώνυμος πόλις καθίδρυται. κεῖνται δ' αὗται μεταξὺ Σικελίας καὶ Ἰταλίας ἐπ' εὐθείας ἀπὸ πορθμοῦ [καὶ τῆς πρὸς ἕω] πρὸς δύσιν. ἀπέχουσι δὲ τῆς Σικελίας ὡς ἑκατὸν πεντήκοντα σταδίους, καὶ τὸ μέγεθός εἰσιν ἀλλήλαις παραπλήσιαι· ἡ δὲ μεγίστη αὐτῶν 20 ἐστι τὴν περίμετρον σταδίων ὡς ἑκατὸν πεντήκοντα. αὗται δὲ πᾶσαι πυρὸς ἐσχήκασιν ἀναφυσήματα μεγάλα, ὧν κρατῆρες οἱ γεγενημένοι καὶ τὰ στόμια μέχρι τοῦ νῦν εἰσι φανερά. ἐν δὲ τῇ Στρογγύλῃ καὶ τῇ Ἱερᾷ μέχρι τοῦ νῦν ἐκ τῶν χασμάτων ἐκπίπτει πνεύματος μέγεθος καὶ βρόμος ἐξαίσιος· ἐκφυσᾶται 25 δὲ καὶ ἄμμος καὶ λίθων διαπύρων πλῆθος, καθάπερ ἔστιν ὁρᾶν καὶ περὶ τὴν Αἴτνην γινόμενον. λέγουσι γάρ τινες ἐκ τούτων τῶν νήσων ὑπονόμους εἶναι κατὰ γῆς μέχρι τῆς Αἴτνης καὶ τοὺς ἐπ' ἀμφότερα στομίοις συνημμένους· διὸ καὶ κατὰ τὸ πλεῖστον ἐναλλὰξ κάεσθαι τοὺς ἐν ταύταις ταῖς νήσοις 30 κρατῆρας τῶν κατὰ τὴν Αἴτνην. φασὶ δὲ τὰς Αἰόλου νήσους τὸ μὲν παλαιὸν ἐρήμους γεγονέναι, μετὰ δὲ ταῦτα τὸν ὀνομαζόμενον Λίπαρον, Αὔσονος ὄντα τοῦ βασιλέως υἱόν, ὑπὸ τῶν ἀδελφῶν καταστασιασθῆναι, κυριεύσαντα δὲ νεῶν μακρῶν καὶ στρατιωτῶν ἐκ τῆς Ἰταλίας φυγεῖν εἰς τὴν ἀπὸ τούτου

---

17. καὶ τῆς πρὸς ἕω glossema videtur esse. 20. ὡς ἑκατὸν πεντήκοντα σταδίων D. de numero iure dubitat Wil. collato priore l. 18.

παρανομηθέντες τῆς μεγίστης συμφορᾶς ἔτυχον, ἐνδείᾳ τροφῆς διαφθαρέντες.

V 12 *Ἡμεῖς δ' ἐπεὶ τὰ περὶ τὰς Αἰολίδας νήσους διήλθομεν, ἐν μέρει τὰς ἐκ θατέρου μέρους νήσους κειμένας ἀναγραφῆς ἀξιώσομεν. τῆς γὰρ Σικελίας ἐκ τοῦ κατὰ μεσημβρίαν μέρους* 5 *νῆσοι τρεῖς πρόκεινται πελάγιαι, καὶ τούτων ἑκάστη πόλιν ἔχει καὶ λιμένας δυναμένους τοῖς χειμαζομένοις σκάφεσι παρέχεσθαι τὴν ἀσφάλειαν. καὶ πρώτη μέν ἐστιν ἡ προσαγορευομένη Μελίτη, τῶν Συρακουσῶν ἀπέχουσα σταδίους ὡς ὀκτακοσίους, καὶ λιμένας μὲν ἔχει πολλοὺς καὶ διαφόρους* 10 *ταῖς εὐχρηστίαις, τοὺς δὲ κατοικοῦντας ταῖς οὐσίαις εὐδαίμονας· τεχνίτας τε γὰρ ἔχει παντοδαποὺς ταῖς ἐργασίαις, κρατίστους δὲ τοὺς ὀθόνια ποιοῦντας τῇ τε λεπτότητι καὶ τῇ μαλακότητι διαπρεπῆ, τάς τε οἰκήσεις ἀξιολόγους καὶ κατεσκευασμένας φιλοτίμως γείσοις καὶ κονιάμασι περιττότερον.* 15 *ἔστι δ' ἡ νῆσος αὕτη Φοινίκων ἄποικος, οἳ ταῖς ἐμπορίαις διατείνοντες μέχρι τοῦ κατὰ τὴν δύσιν ὠκεανοῦ καταφυγὴν εἶχον ταύτην, εὐλίμενον οὖσαν καὶ κειμένην πελαγίαν· δι' ἣν αἰτίαν οἱ κατοικοῦντες αὐτὴν εὐχρηστούμενοι κατὰ πολλὰ διὰ τοὺς ἐμπόρους ταχὺ τοῖς τε βίοις ἀνέδραμον καὶ ταῖς δόξαις* 20 *ηὐξήθησαν. — μετὰ δὲ ταύτην τὴν νῆσόν ἐστιν ἑτέρα τὴν μὲν προσηγορίαν ἔχουσα Γαῦδος, πελαγία δὲ καὶ λιμέσιν εὐκαίροις κεκοσμημένη, Φοινίκων ἄποικος. — ἑξῆς δ' ἐστὶ Κέρκινα, πρὸς τὴν Λιβύην νενευκυῖα, πόλιν ἔχουσα σύμμετρον καὶ λιμένας εὐχρηστοτάτους, οὐ μόνον ταῖς ἐμπόροις, ἀλλὰ καὶ* 25 *ταῖς μακραῖς ναυσὶν εὐθετοῦντας.*

---

6. *πελάγιοι* codd. em. Vogel. 10. *ὡς* om. D. 15. *γείσοις*] *γησοιεσι* D *καὶ θεμελίοις* add. C. *γείσοις καὶ θεμελίοις καὶ κονιάμασι περιττοτέροις* suadet Wil. 22. *Γαῦλος* Diodorus et Romani. cf. CIL X 2 p. 774 sq. Plin. III 92. V 42. At Timaeum *Γαῦδος* scripsisse docent Callim. fr. 524 et Strab. 44. 277.

οὐκ ἂν οὖν εἴη τὸ λεγόμενον ὑπὸ Καλλισθένους ἀληθές, ὅτι ἀπὸ Φοινίκων τῆς Συρίας τῶν τὴν παραλίαν οἰκούντων τὸ φυτὸν ἔλαβε τὴν προσηγορίαν· ἀλλὰ καὶ αὐτοὺς τοὺς Φοίνικας ὑπὸ τῶν Ἑλλήνων φασί τινες προσαγορευθῆναι διὰ
5 *τὸ πρώτους πλέοντας τὴν θάλασσαν, ᾗ ἂν ἀποβαίησαν, πάντας ἀποκτείνειν καὶ φονεύειν. καὶ κατὰ γλῶσσαν δ' ἐστὶ τὴν Περραιβῶν τὸ αἱμάξαι φοινίξαι.*

Μετὰ δὲ τὴν Λιπάραν εἰς τὸ πρὸς δυσμὰς μέρος νῆσός DIOD. V 11 *ἐστι πελαγία, μικρὰ μὲν τὸ μέγεθος, ἔρημος δὲ καὶ διά τινα*
10 *περιπέτειαν Ὀστεώδης ὀνομαζομένη. καθ' ὃν γὰρ καιρὸν Καρχηδόνιοι πρὸς Συρακοσίους διαπολεμοῦντες πολλοὺς καὶ μεγάλους πολέμους δυνάμεις εἶχον ἀξιολόγους πεζάς τε καὶ ναυτικάς, περὶ [δὲ] τούτους τοὺς καιροὺς μισθοφόρων ὄντων παρ' αὐτοῖς πολλῶν καὶ παντοδαπῶν τοῖς ἔθνεσιν, οὗτοι δὲ*
15 *ταραχώδεις ὄντες καὶ πολλὰς καὶ μεγάλας στάσεις εἰωθότες ποιεῖσθαι, καὶ μάλιστα ὅταν τοὺς μισθοὺς εὐκαίρως μὴ λαμβάνωσιν, ἐχρήσαντο καὶ τότε τῇ συνήθει ῥαδιουργίᾳ τε καὶ τόλμῃ. ὄντες γὰρ τὸν ἀριθμὸν ὡς ἑξακισχίλιοι, καὶ τοὺς μισθοὺς οὐκ ἀπολαμβάνοντες, τὸ μὲν πρῶτον συντρέχοντες*
20 *κατεβόων τῶν στρατηγῶν, ἐκείνων δ' ἀπορουμένων χρημάτων καὶ πολλάκις ἀναβαλλομένων τὰς ἀποδόσεις, ἠπείλουν τοῖς ὅπλοις ἀμυνεῖσθαι τοὺς Καρχηδονίους, καὶ τὰς χεῖρας προσέφερον τοῖς ἡγεμόσι. τῆς δὲ γερουσίας ἐγκαλούσης καὶ τῆς διαφορᾶς ἀεὶ μᾶλλον ἐκκαομένης, ἡ μὲν γερουσία τοῖς στρατη-*
25 *γοῖς ἐν ἀπορρήτοις προσέταξεν ἀφανίσαι πάντας τοὺς ἐγκαλουμένους· οἱ δὲ λαβόντες τὰς ἐντολάς, καὶ τοὺς μισθοφόρους ἐμβιβάσαντες εἰς τὰς ναῦς, ἐξέπλευσαν ὡς ἐπί τινα πολεμικὴν χρείαν. προσπλεύσαντες δὲ τῇ προειρημένῃ νήσῳ, καὶ πάντας τοὺς μισθοφόρους ἀποβιβάσαντες εἰς αὐτήν, ἀπέπλευσαν κατα-*
30 *λιπόντες ἐν αὐτῇ τοὺς ἐγκαλουμένους. οἱ δὲ μισθοφόροι περιαλγεῖς ὄντες τῇ περιστάσει καὶ μὴ δυνάμενοι τοὺς Καρχηδονίους ἀμύνασθαι, λιμῷ διεφθάρησαν. ἐν νήσῳ δὲ μικρᾷ τοσούτων αἰχμαλώτων τελευτησάντων συνέβη τὸν τόπον ὀλίγον ὄντα πληρωθῆναι τῶν ὀστῶν· ἀφ' ἧς αἰτίας ἡ νῆσος ἔτυχε*
35 *τῆς προσηγορίας. οἱ μὲν οὖν μισθοφόροι τοῦτον τὸν τρόπον*

---

12. *πεζικάς* codd. 13. *δὲ* del. vel *δὴ* conic. Wil. 20. *χρήμασι* D.

κατειλῆφθαι ναυσὶ τὸ στόμα τοῦ Πόντου, πρᾶξιν ἐπιτελέσασθαι παράδοξον καὶ μνήμης ἀξίαν. ἀναπλεύσαντας γὰρ αὐτοὺς διὰ τοῦ Τανάιδος ποταμοῦ ἐπὶ τὰς πηγάς, καὶ κατὰ τόπον τινὰ τὴν ναῦν διελκύσαντας, καθ' ἑτέρου πάλιν ποταμοῦ τὴν ῥύσιν ἔχοντος εἰς τὸν ὠκεανὸν καταπλεῦσαι πρὸς τὴν θάλατταν, 5 ἀπὸ δὲ τῶν ἄρκτων ἐπὶ τὴν δύσιν κομισθῆναι τὴν γῆν ἔχοντας ἐξ εὐωνύμων, καὶ πλησίον γενομένους Γαδείρων εἰς τὴν καθ' ἡμᾶς θάλατταν εἰσπλεῦσαι. ἀποδείξεις δὲ τούτων φέρουσι, δεικνύντες τοὺς παρὰ τὸν ὠκεανὸν κατοικοῦντας Κελτοὺς σεβομένους μάλιστα τῶν θεῶν τοὺς Διοσκόρους· παραδόσιμον γὰρ 10 αὐτοὺς ἔχειν ἐκ παλαιῶν χρόνων τὴν τούτων τῶν θεῶν παρουσίαν ἐκ τοῦ ὠκεανοῦ γεγενημένην. εἶναι δὲ καὶ τὴν παρὰ τὸν ὠκεανὸν χώραν οὐκ ὀλίγας ἔχουσαν προσηγορίας ἀπό τε τῶν Ἀργοναυτῶν καὶ τῶν Διοσκόρων. παραπλησίως δὲ καὶ τὴν ἐντὸς Γαδείρων ἤπειρον ἔχειν ἐμφανῆ σημεῖα τῆς τούτων 15 ἀνακομιδῆς. περὶ μὲν γὰρ τὴν Τυρρηνίαν καταπλεύσαντας αὐτοὺς εἰς νῆσον τὴν ὀνομαζομένην Αἰθάλειαν τὸν ἐν αὐτῇ λιμένα, κάλλιστον ὄντα τῶν ἐν ἐκείνοις τοῖς τόποις, Ἀργῷον ἀπὸ τῆς νεὼς προσαγορεῦσαι, καὶ μέχρι τῶνδε τῶν χρόνων διαμένειν αὐτοῦ τὴν προσηγορίαν. παραπλησίως δὲ τοῖς εἰρη- 20 μένοις κατὰ μὲν τὴν Τυρρηνίαν ἀπὸ σταδίων ὀκτακοσίων τῆς Ῥώμης ὀνομάσαι λιμένα Τελαμῶνα, κατὰ δὲ Φορμίας τῆς Ἰταλίας Αἰήτην τὸν νῦν Καιήτην προσαγορευόμενον· πρὸς δὲ τούτοις ὑπ' ἀνέμων αὐτοὺς ἐκριφέντας εἰς τὰς Σύρτεις καὶ μαθόντας παρὰ Τρίτωνος τοῦ τότε βασιλεύοντος τῆς Λιβύης 25 τὴν ἰδιότητα τῆς θαλάττης καὶ τὸν κίνδυνον ἐκφυγόντας, δωρήσασθαι χαλκοῦν τρίποδα τὸν ἀρχαίοις μὲν κεχαραγμένον γράμμασι, μέχρι δὲ τῶν νεωτέρων χρόνων διαμείναντα παρὰ τοῖς Εὐεσπερίταις. [οὐ παραλειπτέον δ' ἡμῖν ἀνεξέλεγκτον τὴν ἱστορίαν τῶν ἀποφηναμένων τοὺς Ἀργοναύτας ἀνὰ τὸν 30 Ἴστρον πλεύσαντας μέχρι τῶν πηγῶν κατενεχθῆναι διὰ τῆς ἀντιπροσώπου ῥύσεως πρὸς τὸν Ἀδριατικὸν κόλπον.]

ΘΑΥΜ. ΑΚ. 105 Φασὶ δὲ καὶ τὸν Ἴστρον ῥέοντα ἐκ τῶν Ἑρκυνίων

17. Αἰθαλίαν C D. 23. Καιήτην D. 29. οὐ παραλειπτέον — 32. κόλπον addidi, ut Diodori et Mirabilium auscultationum narrationes quodam modo essent nexae.

καλουμένων δρυμῶν σχίζεσθαι καὶ τῇ μὲν εἰς τὸν Πόντον
ῥεῖν, τῇ δὲ εἰς τὸν Ἀδρίαν ἐκβάλλειν. σημεῖον δὲ οὐ μόνον
ἐν τοῖς νῦν καιροῖς ἑωράκαμεν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀρχαίων
μᾶλλον οἴονται ἐκεῖνα πλωτὰ εἶναι· καὶ γὰρ Ἰάσονα τὸν μὲν
5 εἴσπλουν κατ᾽ Κυανέας, τὸν δ᾽ ἐκ τοῦ Πόντου ἔκπλουν κατὰ
τὸν Ἴστρον ποιήσασθαί φασι· καὶ φέρουσιν ἄλλα τε τεκμήρια
οὐκ ὀλίγα καὶ κατὰ μὲν τὴν χώραν βωμοὺς ὑπὸ τοῦ Ἰάσονος
ἀνακειμένους δεικνύουσιν, ἐν δὲ μιᾷ τῶν νήσων τῶν ἐν τῷ
Ἀδρίᾳ πολυτελὲς ἱερὸν Ἀρτέμιδος ὑπὸ Μηδείας ἱδρυμένον.
10 ἔτι δὲ λέγουσιν ὡς οὐκ ἂν παρέπλευσε τὰς Πλαγκτὰς καλου-
μένας, εἰ μὴ ἐκεῖθεν ἀπέπλει. καὶ ἐν τῇ Αἰθαλείᾳ δὲ νήσῳ,
τῇ κειμένῃ ἐν τῷ Τυρρηνικῷ πελάγει ἄλλα τε δεικνύουσι μνη-
μεῖα τῶν ἀριστέων καὶ τὸ ἐπὶ τῶν ψήφων δὲ λεγόμενον· παρὰ
γὰρ τὸν αἰγιαλὸν ψήφους φασὶν εἶναι ποικίλας, ταύτας δ᾽ οἱ
15 Ἕλληνες οἱ τὴν νῆσον οἰκοῦντες λέγουσι τὴν χροιὰν λαβεῖν
ἀπὸ τῶν στλεγγισμάτων ὧν ἐποιοῦντο ἀλειφόμενοι· [ἀπὸ] ἐκεί-
νων γὰρ τῶν χρόνων οὔτε πρότερον ἑωρᾶσθαι μυθολογοῦσι
τοιαύτας φήφους οὔθ᾽ ὕστερον ἐπιγενομένας. ἔτι δὲ τούτων
φανερώτερα σημεῖα λέγουσιν, ὅτι οὐ διὰ τῶν Συμπληγάδων
20 ἐγένετο ὁ ἔκπλους, αὐτῷ τῷ ποιητῇ ἐν ἐκείνοις τοῖς τόποις
μάρτυρι χρώμενοι. τὴν γὰρ δυσχέρειαν τοῦ κινδύνου ἐμφα-
νίζοντα λέγειν ὅτι οὐκ ἔστι παραπλεῦσαι τὸν τόπον· (μ 67)

> ἀλλά θ᾽ ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν
> κύμαθ᾽ ἁλὸς φορέουσι πυρός τ᾽ ὀλοοῖο θύελλαι.

25 περὶ μὲν οὖν τὰς Κυανέας οὐ λέγεται πῦρ ἀνάπτειν, περὶ δὲ
τὸν πορθμὸν τὸν διαλαμβάνοντα τὴν Σικελίαν, ἐφ᾽ ἑκάτερα
κειμένων τῶν τοῦ πυρὸς ἀναφυσημάτων, καὶ τῆς τε νήσου
συνεχῶς καιομένης, καὶ τοῦ περὶ τὴν Αἴτνην ῥεύματος πολλά-
κις τὴν χώραν ἐπιδεδραμηκότος.

30 Ἐκεῖσε (sc. Ilvam) γὰρ πλεῦσαι τὴν τῆς Κίρκης οἴκησιν ζητοῦντα τὸν Ἰάσονα, τῆς Μηδείας ἐθελούσης ἰδεῖν τὴν θείαν. STRABO 224

4. οἷον τὰ ἐκεῖ ἄπλωτα εἶναι codd. em. Wil. 11. Αἰγιαλεία S? 16. γὰρ ἐκείνων duo Bekkeri, ἐκείνων γὰρ cett. locum transformavit Wil. 19. φανερώτατα codd. corr. Bekker. 25. ἀνάπτειν duo codd. ἀναπέμπειν cett. 31. θεάν vulg. em. Wil.

* ΣΧ. ΛΥΚ. 1021

Πόλαι . . πόλις . . ὑπὸ Κόλχων κτισθεῖσα τῶν καταδιωξάντων τὴν Μήδειαν καὶ μὴ καταλαβόντων αὐτὴν καὶ διὰ φόβον ἐνταῦθα κατοικησάντων καὶ κτισάντων πόλιν, ἥτις τῇ Κολχίδι φωνῇ Πόλαι καλεῖται, σημαίνοντος τοῦ ὀνόματος τοὺς φυγάδας . . 5

*SCHOL. AP. RH. IV 984

. . Κέρκυρα. αὕτη πρότερον Σχερία ἐκαλεῖτο. ἀποδίδωσι δὲ τὴν αἰτίαν Ἀριστοτέλης ἐν τῇ Κερκυραίων πολιτείᾳ. φησὶ γὰρ τὴν Δήμητρα φοβουμένην μὴ οἱ ἐκ τῆς ἠπείρου ἐρχόμενοι ποταμοὶ ἤπειρον αὐτὴν ποιήσωσι δεηθῆναι τοῦ Ποσειδῶνος ἀποστρέψαι τὰ τῶν ποταμῶν ῥεύματα· ἐπισχεθέντων οὖν τούτων ἀντὶ Δρεπάνης Σχερίαν ὀνομασθῆναι· ⟨Δρεπάνη δὲ ἐκαλεῖτο διὰ τὸ⟩ τὴν Δήμητρα αἰτησαμένην δρεπάνην παρ' Ἡφαίστου τοὺς Τιτᾶνας διδάξαι θερίζειν, εἶτα αὐτὴν κρύψαι εἰς τὸ παραθαλάσσιον μέρος τῆς νήσου. προσκλυζούσης δὲ τῆς θαλάσσης ἐξομοιωθῆναι τὴν θέσιν τῆς γῆς δρεπάνῃ. Τίμαιος δέ φησιν, ᾧ ἐξέτεμεν τοῦ Οὐρανοῦ ἢ τοῦ Κρόνου τὰ αἰδοῖα ὁ Ζεύς, τοῦτο κεκρύφθαι. 10 15

SCHOL. AP. RH. IV 1217

Τίμαιος περὶ τῆς θυσίας ἱστορεῖ ἔτι καὶ νῦν λέγων ἄγεσθαι κατ' ἐνιαυτὸν Μηδείας πρῶτον θυσάσης ἐν τῷ Ἀπόλλωνος ἱερῷ· ⟨καὶ βωμοὺς δέ φησι⟩ μνημεῖα τῶν γάμων ἱδρύσασθαι σύνεγγυς μὲν τῆς θαλάσσης, οὐ μακρὰν δὲ τῆς πόλεως. ὀνομάζουσι δὲ τὸν μὲν Νυμφῶν, τὸν δὲ Νηρηίδων. 20

ΘΑΥΜ. ἈΚ. 81

Ἐν ταῖς Ἠλεκτρίσι νήσοις, αἳ κεῖνται ἐν τῷ μυχῷ τοῦ Ἀδρίου φασὶν εἶναι δύο ἀνδριάντας ἀνακειμένους, τὸν μὲν κασσιτέρινον τὸν δὲ χαλκοῦν, εἰργασμένους τὸν ἀρχαῖον τρόπον. λέγεται δὲ τούτους Δαιδάλου εἶναι ἔργα, ὑπόμνημα τῶν πάλαι, ὅτε Μίνω φεύγων ἐκ Σικελίας καὶ Κρήτης εἰς τούτους τοὺς τόπους παρέβαλε. ταύτας δὲ τὰς νήσους φασὶ προκεχωκέναι τὸν Ἠριδανὸν ποταμόν. ἔστι δὲ καὶ λίμνη, ὡς ἔοικε, πλησίον τοῦ ποταμοῦ, ὕδωρ ἔχουσα θερμόν· ὀσμὴ δ' ἀπ' αὐτῆς βαρεῖα καὶ χαλεπὴ ἀποπνεῖ, καὶ οὔτε ζῷον οὐδὲν πίνει ἐξ αὐτῆς οὔτε ὄρνεον ὑπερίπταται, ἀλλὰ πίπτει καὶ ἀποθνήσκει. ἔχει 25 30

---

1. post *πόλις* omisi *Ἠπείρου*. 5. post *φυγάδας: ὥς φησι Καλλίμαχος* omisi. 11. *ὀνομασθῆναι διὸ* Laur. *ὀνομασθῆναι. Δρεπάνη δὲ ἐκαλεῖτο διὰ τὸ* Flor. Par. 20. *ἱερῷ μνημεῖα* Laur. *ἱερῷ· καὶ βωμοὺς δέ φησι μνημεῖα* Flor. Par. 24. *Ἀδρία* S⁹

δὲ τὸν μὲν κύκλον σταδίων διακοσίων, τὸ δὲ εὖρος ὡς δέκα. μυθεύουσι δὲ καὶ οἱ ἐγχώριοι Φαέθοντα κεραυνωθέντα πεσεῖν εἰς ταύτην τὴν λίμνην. εἶναι δ' ἐν αὐτῇ αἰγείρους πολλάς, ἐξ ὧν ἐκπίπτειν τὸ καλούμενον ἤλεκτρον. τοῦτο δὲ λέγουσιν
5 ὅμοιον εἶναι κόμμι, ἀποσκληρύνεσθαι δὲ ὡσανεὶ λίθον, καὶ συλλεγόμενον ὑπὸ τῶν ἐγχωρίων διαφέρεσθαι εἰς τοὺς Ἕλληνας. εἰς ταύτας οὖν τὰς νήσους Δαίδαλόν φασιν ἐλθεῖν, καὶ κατασχόντα αὐτὰς ἀναθεῖναι ἐν μιᾷ αὐτῶν τὴν αὐτοῦ εἰκόνα, καὶ τὴν τοῦ υἱοῦ Ἰκάρου ἐν τῇ ἑτέρᾳ. ὕστερον δ' ἐπιπλευσάντων
10 ἐπ' αὐτοὺς Πελασγῶν τῶν ἐκπεσόντων ἐξ Ἄργους φυγεῖν τὸν Δαίδαλον καὶ ἀφικέσθαι εἰς Ἴκαρον τὴν νῆσον.

15

ITALIA.

Graecia enim antiqua, ut scribit Timaeus, tauros vocabat italos, a quorum multitudine et pulchritudine et fetu vitulorum (VARRO r. r. II 5, 3)
20 *Italiam dixerunt.*

Ἀδρία . . . ἡ χώρα τοῖς βοσκήμασίν ἐστιν ἀγαθή, ὡς δὶς τίκτειν τὸν ἐνιαυτὸν καὶ διδυμητοκεῖν, πολλάκις καὶ τρεῖς καὶ τέσσαρας ἐρίφους τίκτειν, ἔνια δὲ καὶ πέντε καὶ πλείους. καὶ τὰς ἀλεκτορίδας δὶς τίκτειν τῆς ἡμέρας, τῷ δὲ μεγέθει (STEPH. BYZ. s. v.)
25 πάντων εἶναι μικροτέρας τῶν ὀρνίθων. || εἶναι δὲ καὶ τὰς γυναῖκας πολυγόνους καὶ σπανίως ἓν τίκτειν, τὰς δὲ πλείστας δύο καὶ τρία. || (ΘΑΥΜ. ἈΚ. 80)

Οἱ Φαίακες σέβουσι τὸν Διομήδην οἵτινές εἰσι περὶ τὸ Ἰόνιον πέλαγος· αὐτὸς γὰρ τὸν δράκοντα ἀνεῖλεν ἐκεῖσε
30 ἐλθόντα ἐκ Κόλχων πρὸς ζήτησιν τοῦ χρυσοῦ δέρους. — (ΣΧ. ΛΥΚ. 630)

Ἁλούσης τῆς Ἰλίου Διομήδης ἀντὶ τοῦ ἕρματος ἐκ τοῦ τείχους τῶν Τρώων λίθους εἰς τὴν ναῦν ἐβάλετο· παραγενόμενος δ' εἰς Ἄργος καὶ ἐλαθεὶς ὑπὸ Αἰγιαλείας παρεγένετο εἰς Ἰταλίαν· εὑρὼν δὲ τηνικαῦτα τὸν ἐν τῇ Σκυθίᾳ δρά- (ΣΧ. ΛΥΚ. 615)

---

1. τριακοσίων S!! ὡσεὶ S. 2. δὲ καὶ οἱ S. δὲ οἱ cett. 3. αὐτῷ S. 9. ἐν τῇ ἑτέρᾳ om. S. 23. ἐνίας indicant codd. em. Meineke.

κοντα λυμαινόμενον τὴν Φαιακίδα, διέφθειρε τοῦτον, τὴν τοῦ Γλαύκου χρυσῆν ἀσπίδα κατέχων, νομίσαντος τοῦ δράκοντος τὸ χρυσοῦν δέρος εἶναι τοῦ κριοῦ· τιμηθεὶς δὲ ἐπὶ τούτῳ
TZETZ. σφόδρα, ἀνδριάντα || ἑαυτοῦ || κατεσκεύασεν καὶ ἱδρύσατο ἐκ τῶν λίθων τῶν ἐκ τῆς Ἰλίου. ἱστορεῖ δὲ τοῦτο Τίμαιος καὶ 5
Λύκος ἐν τῷ τρίτῳ.

* ΣΧ. ΛΥΚ. 592 .... ὅτι Διομήδης ἀπελαθεὶς ᾤχετο εἰς Ἰταλίαν εἰς τὸ Δαύνιον ἔθνος ἐν βαρβάροις· ὧν ἐβασίλευε Δαῦνος, ὅστις πολιορκούμενος ἐδεήθη Διομήδους βοηθῆσαι αὐτῷ, ὑποσχόμενος αὐτῷ δώσειν τῆς γῆς μέρος. ὁ δὲ βοηθήσας καὶ τὴν 10
ΛΥΚ. 593 νίκην παρασχὼν Δαυνίοις ἔκτισε πόλιν || παρ' Αὐσονίτην *Φύλαμον || ἥν τινα Ἵππιον Ἄργος ἐκάλεσεν· ὕστερον δ' αὐτῷ προσέθετο ὁ Δαῦνος, εἰ βούλοιτο τὴν λείαν ἔχειν τοῦ πολέμου, ἢ τὴν γῆν πᾶσαν· καὶ κριτὴς τούτου ἐγένετο Ἄλαινος νόθος ὢν τοῦ Διομήδους ἀδελφός, ὅστις ἠράσθη τῆς Δαύνου θυγα- 15
τρὸς Εὐίππης, καὶ διὰ τοῦτο ἔκρινε τὸν Δαῦνον ἔχειν τὴν γῆν. ἐφ' ᾧ Διομήδης ὀργισθεὶς τρία κατηράσατο, μηδένα
TZETZ. δύνασθαι σπείρειν τὴν γῆν || μηδὲ σπειρομένην ἀναδιδόναι καρπούς ||, εἰ μή τινα ἀπὸ τοῦ γένους αὐτοῦ ὄντα· καὶ μετα-
TZETZ. κινῆσαι τὰς στήλας αὐτοῦ || μηδένα δύνασθαι || * * * ἔστη ἐπὶ 20
* ΣΧ. ΛΥΚ. 625 ταὐτό· ὕστερον δὲ ὁ Διομήδης παρὰ Δαύνου ἀνῃρέθη· || τοῦ Διομήδους στήλας ποιήσαντος περὶ ὅλον τὸ πεδίον, ἡνίκα ἀπέθανε, Δαῦνος ἐβουλήθη ταύτας καταποντίσαι· αἱ δὲ ῥιφεῖσαι πάλιν ἐκ τοῦ ὕδατος ἀνῆλθον καὶ εὑρέθησαν ἐν τῷ αὐτῷ τόπῳ ἑστηκυῖαι ὅθεν καὶ ἐπήρθησαν. . . . 25

ΘΑΥΜ. ἈΚ. 79 Ἐν τῇ Διομηδείᾳ νήσῳ, ἣ κεῖται ἐν τῷ Ἀδρίᾳ, φασὶν ἱερόν τι εἶναι τοῦ Διομήδους θαυμαστόν τε καὶ ἅγιον, περὶ δὲ τὸ ἱερὸν κύκλῳ περικαθῆσθαι ὄρνιθας μεγάλους τοῖς μεγέθεσι,
* ΣΧ. ΛΥΚ. 601 καὶ ῥύγχη ἔχοντας μεγάλα καὶ σκληρά. || εἰσὶ δὲ (sc. ὄρνεα) ὅμοια κύκνοις, οἵτινες διάγουσιν ἐν τῇ Διομήδους νήσῳ . . . 30
οἰκοῦσι δὲ οὗτοι οἱ ὄρνιθες ὥσπερ πόλιν· ὑπὸ γὰρ τὸν ὄρθρον βρέχουσι τὸν τόπον ταῖς πτέρυξι καὶ ῥαίνουσι πάλιν βρέχοντες· εἶτα εἰς ἄγραν πορεύονται καὶ τὰ ληφθέντα θέντες ὁμοῦ

---

4. καὶ add. Kinkel. 12. Φύλαμον Lobeck proll. 156 Φυλαμὸν codd. et edd. praeter Scheerium. || δ' add. Kinkel. 19. μετακινήσας τὰς στήλας αὐτοῦ ἔστη ἐπὶ τοῦτο Marc. 31. ὄρθρον] βόθρον Marc.

διαιροῦσιν ἀλλήλοις. || *τούτους λέγουσιν, ἐὰν μὲν Ἕλληνες* || *vel Graecorum stirpe prognati* || *ἀποβαίνωσιν εἰς τὸν τόπον* || *non solum quietas esse verum et insuper adulare* || sinui eorum se applicantes et blandis vocibus polentas micasque panis e ma-
5 nibus arripientes, humani cibi, quo olim utebantur, memores.

ΘΑΥΜ. 'ΑΚ. l. l. VARRO (August. de c. d. XVIII 16) VARRO l. l. ΛΥΚ. 605 sqq. IVBA (Plin. X 126)

Duos semper his duces, alterum ducere agmen, alterum cogere. scrobes excavare rostro, inde crate consternere et operire terra, quae antea fuerit egesta. in his fetificare. fores binas omnium scrobibus. orientem spectare quibus exeant in pascua,
10 *occasum quibus redeant. alvum exoneraturas subvolare semper et contrario flatu. . . .*

ΘΑΥΜ. 'ΑΚ. l. l.

Μυθεύεται δὲ τούτους γενέσθαι ἐκ τῶν ἑταίρων τῶν τοῦ Διομήδους ναυαγησάντων μὲν αὐτῶν περὶ τὴν νῆσον, τοῦ δὲ Διομήδους δολοφονηθέντος ὑπὸ [τοῦ] Δαύνου τοῦ τότε βασι-
15 *λέως τῶν τόπων ἐκείνων γενομένου.*

ΣΧ. ΛΥΚ. 1056

Διομήδης καταρασάμενος τὴν τῶν Δαυνίων χώραν μὴ καρποφορῆσαί ποτε, εἰ μὴ παρ' Αἰτωλοῦ ἐργάζοιτο, οἱ Δαύνιοι παραγενόμενοι εἰς Αἰτωλίαν ἐκήρυξαν τοὺς βουλομένους ἐλθεῖν καὶ ἀπολαβεῖν τὸ τοῦ Διομήδους μέρος τῆς γῆς· ἐλθόντων
20 *δὲ τῶν Αἰτωλῶν εἰς τὴν τῶν Δαυνίων χώραν καὶ ἀπαιτούντων τὴν γῆν, οἱ Δαύνιοι λαβόντες κατέχωσαν αὐτοὺς ζῶντας, λέγοντες »ἀπειλήφατε τὸν κλῆρον τῆς γῆς ὑμῶν«.*

ΘΑΥΜ. 'ΑΚ. 109

Λέγεται περὶ τὸν ὀνομαζόμενον τῆς Δαυνίας τόπον ἱερὸν εἶναι Ἀθηνᾶς Ἀχαΐας καλούμενον, ἐν ᾧ δὴ πελέκεις χαλκοῦς
25 *καὶ ὅπλα τῶν Διομήδους ἑταίρων καὶ αὐτοῦ ἀνακεῖσθαι. ἐν τούτῳ τῷ τόπῳ φασὶν εἶναι κύνας, οἳ τοὺς ἀφικνουμένους τῶν Ἑλλήνων οὐκ ἀδικοῦσιν, ἀλλὰ σαίνουσιν ὥσπερ τοὺς συνηθεστάτους. — πάντες δὲ οἱ Δαύνιοι καὶ οἱ πλησιόχωροι αὐτοῖς μελανειμονοῦσι, καὶ ἄνδρες καὶ γυναῖκες, διὰ ταύτην,*
30 *ὡς ἔοικε, τὴν αἰτίαν. τὰς γὰρ Τρῳάδας τὰς ληφθείσας αἰχμαλώτους καὶ εἰς ἐκείνους τοὺς τόπους ἀφικομένας, εὐλαβηθείσας μὴ πικρᾶς δουλείας τύχωσιν ὑπὸ τῶν ἐν ταῖς πατρίσι προϋπαρχουσῶν τοῖς Ἀχαιοῖς γυναικῶν, λέγεται τὰς ναῦς αὐτῶν*

---

3. *adolare* Monac. codd. 6259. 6267. *advolare* Mon. 3831. 13. *δὲ* om. S[a] 14. *τοῦ* del. Wil. || *Δαύνου*] *Αἰνείου* S[a] corr. Heyne. 23. ante *ὀνομαζόμενον* nomen videtur deesse. 32. *τοῖς πατρίσι τοῖς ἀχαιοῖς προϋπαρχουσῶν* S[a]

ἐμπρῆσαι, ἵν' ἅμα μὲν τὴν προσδοκωμένην δουλείαν ἐκφύγωσιν, ἅμα δ' οὕτως [μετ'] ἐκείνων μένειν ἀναγκασθέντων συναρμοσθεῖσαι κατάσχωσιν αὐτοὺς ἄνδρας. πάνυ δὲ καὶ τῷ ποιητῇ καλῶς πέφρασται περὶ αὐτῶν· ἑλκεσιπέπλους γὰρ καὶ βαθυκόλπους κἀκείνας, ὡς ἔοικεν, ἰδεῖν ἔστιν. 5

ΣΧ. ΛΥΚ. 1075 Αὕτη ἡ Σήταια μία τῶν Τρῳάδων ἦν, ἥτις συνεβούλευσε ταῖς ἄλλαις Τρῳάσι καταφλέξαι τὰς ναῦς τῶν δεσποτῶν αἰχμάλωτος ἀγομένη, ὅτε ἐγένετο περὶ Σύβαριν, ταῖς ἄλλαις Τρῳάσιν ὑποθεμένη τὰ ἐν Ἑλλάδι μέλλοντα αὐταῖς συμβῆναι κακά. καὶ τούτου γενομένου οἱ Ἕλληνες λαβόντες αὐτὴν ἀνεσταύρωσαν 10 καὶ προσήλωσαν αὐτὴν πρὸς πέτραν.

ΛΥΚ. 1128 sqq. Dauniorum autem proceres prope paludem Salpes et Dardani oppidi incolae, qui paludi illi vicini sunt, templum voverunt Casandrae. Quo quidem virgines se reddunt procos fugientes turpes vel infames, qui Hectoreo illo ca- 15 pitis cultu insignes crines circum frontem tondent, promittunt in cervicem. Optima autem tutela nuptiarum eis habitus corporis ipse est.

ΣΧ. ΛΥΚ. 1138 Ὁ δὲ Τίμαιός φησιν ὅτι Ἕλληνες ἐπειδὰν ἀπαντήσωσι ταῖς Δαυνίαις, ὑπεσταλμέναις μὲν ἐσθῆτα φαιάν, ἐζωσμέναις 20 δὲ ταινίαις πλατείαις, ὑποδεδεμέναις δὲ τ' κοῖλα τῶν ὑποδημάτων, ἐχούσαις δὲ ἐν ταῖς χερσὶ ῥάβδον, ὑπαληλιμμέναις δὲ τὸ πρόσωπον καθάπερ πυρρῷ τινι χρώματι, τῶν Ποινῶν ἔννοιαν λαμβάνουσι τῶν τραγικῶν.

ΣΧ. ΛΥΚ. 1050 Εἰώθασιν οἱ Δαύνιοι ἐν μηλωταῖς καθεύδειν ἐν τῷ τάφῳ 25 τοῦ Ποδαλειρίου καὶ καθ' ὕπνους λαμβάνειν χρησμοὺς ἐξ αὐτοῦ· εἰώθασι δὲ καὶ ἐν τῷ πλησίον ποταμῷ Ἀλθαίνῳ ἀπολούεσθαι καὶ αὐτοὶ καὶ τὰ θρέμματα αὐτῶν καὶ ἐπικαλεῖσθαι τὸν Ποδαλείριον καὶ ὑγιάζεσθαι· ὅθεν καὶ ὁ ποταμὸς ἔσχε τὴν ὀνομασίαν || διὰ τὸ ἀλθαίνειν τὰ τραύματα τῶν 30 ἐν αὐτῷ λουομένων. || ET. M. s. v. Ἄλθαινος

ΛΥΚ. 1058 Salanges et Angaesi Dauniorum gentes.

ΛΥΚ. 1017 (Nireus et) Thoas post Troiae excidium in Libyam,

---

2. ὅπως codd. corr. Wil. || μετ' del. Wil. 6. Σήτη cod. 19. ἀπατήσωσι cod. corr. Wachsmuth apud Guentherum l. l. p. 30. 33. De Nireo non constat.

tum ad Argyrinos || *ἔθνος Ἠπειρωτικόν, ὡ Τίμαιος . .* || montesque Ceraunios delati sunt. — *STEPH. BYZ. s. v.

(Solimus post pugnam Cannensem fratris corpus sepelit:) — SIL. IT. IX 98—99

sepulcro

5 *Aetoli condit membra occultata Thoantis.*

Ἐν δὲ τοῖς Πευκετίνοις εἶναί φασιν Ἀρτέμιδος ἱερόν, ἐν ᾧ τὴν διωνομασμένην ἐν ἐκείνοις τοῖς τόποις χαλκῆν ἕλικα ἀνακεῖσθαι λέγουσιν, ἔχουσαν ἐπίγραμμα „Διομήδης Ἀρτέμιδι“. μυθολογεῖται δ' ἐκεῖνον ἐλάφῳ περὶ τὸν τράχηλον περιθεῖναι, — ΘΑΥΜ. ἈΚ. 110

10 *τὴν δὲ περιφῦναι, καὶ τοῦτον τὸν τρόπον εὑρισκομένην ὑπὸ Ἀγαθοκλέους ὕστερον τοῦ βασιλέως Σικελιωτῶν εἰς τὸ [τοῦ Διὸς] ἱερὸν ἀνατεθῆναί φασιν.*

Ἰάπυγας δὲ λεχθῆναι πάντας φασὶ μέχρι τῆς Δαυνίας ἀπὸ Ἰάπυγος, ὃν ἐκ Κρήσσης γυναικὸς Δαιδάλῳ γενέσθαι φασὶ — STRAB. 279

15 *καὶ ἡγήσασθαι τῶν Κρητῶν.*

Apud Iapyges templum est Minervae, quo cum venisset Menelaus, cratera Tamasium clipeum Helenaeque calceos deae vovisse fertur. — ΛΥΚ. 852

Περὶ τὴν ἄκραν τὴν Ἰαπυγίαν φασὶν ἔκ τινος τόπου, ἐν — ΘΑΥΜ. ἈΚ. 97

20 *ᾧ συνέβη γενέσθαι, ὡς μυθολογοῦσιν, Ἡρακλεῖ πρὸς γίγαντας μάχην, ῥεῖν ἰχῶρα πολὺν καὶ τοιοῦτον ὥστε διὰ τὸ βάρος τῆς ὀσμῆς ἄπλουν εἶναι τὴν κατὰ τὸν τόπον θάλασσαν.* || *μυθεύουσι δ' ὅτι τοὺς περιλειφθέντας τῶν γιγάντων ἐν τῇ κατὰ Καμπανίαν Φλέγρᾳ Λευτερνίους καλουμένους Ἡρακλῆς ἐξελάσειε,* — *STRAB. 281

25 *καταφυγόντες [δὲ] δεῦρο ὑπὸ γῆς περισταλεῖεν . . . διὰ τοῦτο δὲ καὶ τὴν παραλίαν ταύτην Λευτερνίαν προσαγορεύουσιν. λέγουσι δὲ πολλαχοῦ τῆς Ἰταλίας Ἡρακλέους εἶναι πολλὰ μνημόσυνα ἐν ταῖς ὁδοῖς, ἃς ἐκεῖνος ἐπορεύθη. περὶ δὲ Πανδοσίαν τῆς Ἰαπυγίας ἴχνη τοῦ θεοῦ δείκνυται, ἐφ' ἃ*

30 *οὐδενὶ ἐπιβατέον. ἔστι καὶ περὶ ἄκραν Ἰαπυγίαν λίθος ἁμαξιαῖος, ὃν ὑπ' ἐκείνου ἀρθέντα μετατεθῆναί φασιν, ἀφ' ἑνὸς δὲ δακτύλου κινεῖσθαι συμβέβηκεν.*

Ἐν Τάραντι ἐναγίζειν κατά τινας χρόνους φασὶν Ἀτρείδαις καὶ Τυδείδαις καὶ Αἰακίδαις καὶ Λαερτιάδαις, καὶ Ἀγα- — ΘΑΥΜ. ἈΚ. 106

---

6. *Πευκεντίνοις* S[a] 11. *τοῦ Διὸς* delendum, nisi intercidit Agathoclem illud Syracusas asportasse: Wil. 25. *δὲ* inserit Coraes. 26. *Λευταρνίαν* Lyc. 978.

μεμνονίδαις δὲ χωρὶς θυσίαν ἐπιτελεῖν ἐν ἄλλῃ ἡμέρᾳ ἰδίᾳ, ἐν ᾗ νόμιμον εἶναι ταῖς γυναιξὶ μὴ γεύσασθαι τῶν ἐκείνοις θυομένων. ἔστι δὲ καὶ Ἀχιλλέως νεὼς παρ' αὐτοῖς. λέγεται δὲ καὶ μετ' τὸ παραλαβεῖν το'ς Ταραντίνους Ἡράκλειαν τὸν τόπον καλεῖσθαι, ὃν νῦν κατοικοῦσιν, ἐν δὲ τοῖς ἄνω χρόνοις τῶν Ἰώνων κατεχόντων Πολίειον· ἔτι δὲ ἐκείνων ἔμπροσθεν ὑπὸ τῶν Τρώων τῶν κατασχόντων αὐτὴν Σῖριν ὠνομάσθαι

*ATHEN. 523 d. *ὡς μὲν Τίμαιός φησιν . . . ἀπὸ γυναικός τινος Σίριδος.* ‖

ATHEN. 523 c *Καὶ οἱ τὴν Σῖριν δὲ κατοικοῦντες, ἣν πρῶτοι κατέσχον οἱ ἀπὸ Τροίας ἐλθόντες, ὕστερον δ' ὑπὸ Κολοφωνίων . . ., ὥς φησι Τίμαιος καὶ Ἀριστοτέλης, εἰς τρυφὴν ἐξώκειλαν* IVSTIN. XX 2, 3—8 *οὐχ ἧσσον Συβαριτῶν.* ‖ *Sed principio originum Metapontini cum Sybaritanis et Crotoniensibus pellere ceteros Graecos Italia statuerunt. Cum primum urbem Sirim cepissent, in expugnatione eius quinquaginta iuvenes amplexos Minervae simula-* ΛΥΚ. 991 *crum sacerdotemque deae* ‖ cuius mater eadem sacerdos fuerat ΛΥΚ. 988 | *velatum ornamentis inter ipsa altaria trucidaverunt.* ‖ At simulacrum caedis propter atrocitatem oculos operuisse dicitur. ‖ *Ob haec cum peste et seditionibus vexarentur, priores Crotonienses Delphicum oraculum adierunt. Responsum his est, finem mali fore, si violatum Minervae numen et interfectorum manes placassent. Itaque cum statuas iuvenibus iustae magnitudinis et in primis Minervae fabricare coepissent, Metapontini oraculo cognito deorum, occupandam manium et deae pacem rati, iuvenibus modica et lapidea simulacra ponunt et deam panificiis placant. Atque ita pestis utrubique sedata est, cum alteri magnificentia, alteri velocitate certassent.*

ΣΧ. ΛΥΚ. 980 *Τοῦ Ἡρακλέους τὰς Γηρυόνος βοῦς ἐλαύνοντος καὶ ἰδόντος*

---

4. *μετὰ τὸ*] *πρὸ τοῦ* malebat Sylburg. ‖ *παραβαλεῖν* Casaubonus. ‖ post *Ταραντίνους* inserendum esse censet Scheer (progr. Ploen. 1880 p. 4) *τὴν πόλιν μετασταθῆναι τοὺς ἐνοικοῦντας καὶ.* 6. *Πολίειον*] *Πλεῖον* codd. corr. Salmasius. 7. *Σῖριν*] *Σίγειον* codd. corr. Salmasius et Holsten. 10. *ὕστερον δ' ὑπὸ Κολοφωνίων* cod. addidit Niebuhr: *ἐκβληθέντες. ὕστερον δ' ὑπὸ ⟨Λυδῶν ἐκπεσόντες⟩ Κολοφώνιοι εἷλον* Scheer l. l. p. 5, 1. *⟨μετονομασθεῖσαν Πολίειον⟩* Kaibel. *οἱ ἀπὸ Κολοφῶνος* Wachsmuth. 23. post *fabricare* inserit Rohde: *ex aere* vel *aereas.* ‖ *et Metapontini* nonnulli codd.

τὸν Κάλχαντα τοῦτον ὑπό τινα ἐρινεὸν καθήμενον, συνέβη ἐρωτῆσαι αὐτὸν ὁπόσους ὀλύνθους ἔχει ὁ ἐρινεός. ὁ δὲ ἔφη, δέκα μεδίμνους καὶ ἕνα ὄλυνθον, ὥστε μὴ δύνασθαι ἐπιτιθέμενον χωρῆσαι· τοῦ δὲ Ἡρακλέους ἀναμετρήσαντος καὶ
5 *πολλὰ βιαζομένου τὸν ἕνα ὄλυνθον περισσὸν ἐπιτιθέναι τῷ μέτρῳ καὶ μὴ δυναμένου, ὁ Κάλχας κατεγέλα αὐτοῦ· ὁ δὲ πατάξας αὐτὸν κονδύλῳ ἀπέκτεινε καὶ ἔθαψεν αὐτὸν παρὰ τὸν ἐρινεόν* || ubi **Sinis** flumen pinguem **Choniae** terram perfluit ||. — ΛΥΚ. 982

10 *Παρὰ δὲ τοῖς Συβαρίταις λέγεται Φιλοκτήτην τιμᾶσθαι· κατοικίσαι γὰρ αὐτὸν ἐκ Τροίας ἀνακομισθέντα* || et prope **Aesarum** et **Crimisam** oppidulum appulsum || *τὰ καλούμενα Μάκαλλα τῆς Κροτωνιάτιδος, ἅ φασιν ἀπέχειν ἑκατὸν εἴκοσι σταδίων* (sc. a Crotone) || prope **Neaethum** — ΘΑΥΜ. ἈΚ. 107; ΛΥΚ. 911 sqq.; ΛΥΚ. 921
15 flumen sita ||, *καὶ ἀναθεῖναι ἱστοροῦσι τὰ τόξα τὰ Ἡράκλεια αὐτὸν εἰς τὸ τοῦ Ἀπόλλωνος τοῦ Ἀλαίου. ἐκεῖθεν δέ φασι τοὺς Κροτωνιάτας κατὰ τὴν ἐπικράτειαν ἀναθεῖναι αὐτὰ εἰς τὸ Ἀπολλώνιον τὸ παρ' αὐτοῖς· λέγεται δὲ καὶ τελευτήσαντα ἐκεῖ κεῖσθαι αὐτὸν παρὰ τὸν ποταμὸν τὸν Σύβαριν, βοηθή-*
20 *σαντα Ῥοδίοις τοῖς μετὰ Τληπολέμου εἰς τοὺς ἐκεῖ τόπους ἀπενεχθεῖσι καὶ μάχην συνάψασι πρὸς τοὺς ἐνοικοῦντας τῶν βαρβάρων ἐκείνην τὴν χώραν* || prope **Pellenen Achaeorum** coloniam ||. — ΛΥΚ. 929

Περὶ δὲ τῆς Ἰταλίας τὴν καλουμένην Λαγαρίαν ἐγγὺς
25 *Μεταποντίου* || et **Ciris Cylistanique** fluminum ||, *Ἀθηνᾶς ἱερὸν εἶναί φασιν Εἰλενίας, ἔνθα τὰ τοῦ Ἐπειοῦ λέγουσιν ἀνακεῖσθαι ὄργανα, οἷς τὸν δούρειον ἵππον ἐποίησεν, ἐκείνῃ τὴν ἐπωνυμίαν ἐπιθέντος. φανταζομένην γὰρ αὐτῷ τὴν Ἀθηνᾶν κατὰ τὸν ὕπνον ἀξιοῦν ἀναθεῖναι τὰ ὄργανα, καὶ διὰ*
30 *τοῦτο βραδυτέρας τυγχάνοντα τῆς ἀναγωγῆς εἰλεῖσθαι ἐν τῷ τόπῳ, μὴ δυνάμενον ἐκπλεῦσαι· ὅθεν Εἰλενίας Ἀθηνᾶς τὸ ἱερὸν προσαγορεύεσθαι.* — ΘΑΥΜ. ἈΚ. 106; ΛΥΚ. 946

---

13. *Μάκαλλα* S? *Μαλακά* alii. 16. *Ἀλίου* codd. corr. Wesseling. 24. *τὴν Ἰταλίαν* codd. em. Sylburg. || *Γαργαρίαν* codd. em. Meineke (St. Byz. 405). 26. *Ἑλληνίας* codd. corr. Hemsterhuis. 27. *ἐκείνου* codd. corr. Wil. *ἃ εἰς* codd. em. Lipsius. 30. *εἰλεῖσθαι* S? 32. *προσαγορεύεται* S?

ANTIG. 134 *Τίμαιον δὲ τῶν ἐν Ἰταλίᾳ ποταμῶν ἱστορεῖν Κρᾶθιν ξανθίζειν τὰς τρίχας.*

ΣΧ. ΛΥΚ. 996 *Κλείτη μία τῶν Ἀμαζόνων, τροφὸς δὲ Πενθεσιλείας, ἔπλευσε ζητοῦσα αὐτὴν καὶ ἦλθεν ἐν Ἰταλίᾳ* || prope Tylessios ΛΥΚ. 993 colles invios Linique promuntorium ||, *καὶ ἐκεῖ κτίσασα πόλιν* 5 *ἐβασίλευε τῶν τόπων· ἀπὸ δὲ ταύτης πᾶσαι αἱ βασιλεύσασαι Κλεῖται ἐκαλοῦντο· μετὰ γενεὰς δὲ πολλὰς ἐπιστρατεύσαντες Κροτωνιᾶται ἀνεῖλον τὴν Κλείτην τὴν ὑστέραν.*

SCHOL. AEN. III 553 *Alii a Caulo Clitae Amazonis filio conditum tradunt* <sc. Caulonem>. 10

ΣΧ. ΛΥΚ. 1005 *Λαυρήτη θυγάτηρ Λακινίου, ἀφ' οὗ τὸ ἐν Ἰταλίᾳ ἀκρωτήριον· αὕτη ἐγαμήθη Κρότωνι, ἀφ' οὗ ἡ πόλις Κροτώνη.*

* DIOD. IV 24, 7 *Ὁ δ' Ἡρακλῆς μετὰ τῶν βοῶν περαιωθεὶς εἰς τὴν Ἰταλίαν* (sc. e Sicilia) *προῆγε διὰ τῆς παραλίας καὶ Λακίνιον* IAMBLICH. V. P. 50 *μὲν κλέπτοντα τῶν βοῶν ἀνεῖλε, Κρότωνα δὲ* || *βοηθοῦντα τῆς* 15 *νυκτὸς παρὰ τὴν ἄγνοιαν ὡς ὄντα τῶν πολεμίων* || *ἀποκτείνας ἔθαψε μεγαλοπρεπῶς καὶ τάφον αὐτοῦ κατεσκεύασε· προεῖπε δὲ καὶ τοῖς ἐγχωρίοις ὅτι* [*καὶ*] *κατὰ τοὺς ὕστερον χρόνους ἔσται πόλις ἐπίσημος ὁμώνυμος τῷ τετελευτηκότι.*

* ΣΧ. ΛΥΚ. 856 <*Λακίνιον*·> *ἡ Θέτις ἀνέθηκε κῆπον τῇ Ἥρᾳ ἐν Κρό-* 20 *τωνι . . . ἔνθα καὶ αἱ γυναῖκες πενθοῦσι τὸν Ἀχιλλέα, πενθικὰ ἱμάτια φοροῦσαι.*

ΛΥΚ. 1008—10 Crotonienses autem Terinam prope Ocinari flavum flumen condiderunt.

ΣΧ. ΛΥΚ. 1155 *Τίμαιος ἱστορεῖ, ὅτι αἱ παραγενόμεναι παρθένοι* <sc. 25 Locrenses> *ἐδούλευον ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς, δύο οὖσαι· εἰ δέ τις ἀποθάνοι, ἑτέραν παραγίνεσθαι ἀντ' αὐτῆς, ἐκείνην δὲ οὐ θάπτεσθαι ὑπὸ τῶν Τρώων, ἀλλὰ καίεσθαι ἀγρίοις ξύλοις καὶ τὰ ὀστᾶ αὐτῆς ῥίπτεσθαι εἰς θάλασσαν.*

ΣΧ. ΛΥΚ. 1157 . . . *Ἐπετέτραπτο δὲ τοῖς Τρωσί, καὶ ἡνίκα ᾔσθοντο* 30 *παραγινομένας αὐτὰς ἐκ Λοκρίδος, λίθους ἔχοντες καὶ ξίφη* || ΛΥΚ. 1169—70 et secures et fustes || *ἐπεξῄεσαν αὐταῖς· διὰ τοῦτο οὖν ἔσπευδον λάθρᾳ καὶ νύκτωρ εἰσέρχεσθαι, εἰσιοῦσαι δὲ ἐκαθέζοντο ἱκετίδες ἐπὶ τοῦ ἱεροῦ τῆς Ἀθηνᾶς· ὅταν δὲ οὕτως κατέλευσαν, ἔκαιον αὐτὰς καὶ ἐρρίπτουν εἰς τὴν θάλασσαν.* 35

3. *Κλήτη* Lycophronis codd. || *δὲ* add. Kinkel. 18. *δὲ καὶ*] *δὲ* vulg. || *καὶ* del. Vogel. 34. *κατέλυσαν* cod.

Συνέβη μιᾷ στελλομένῃ ἐκ Λοκρίδος διαφθαρῆναι ἐπί τινος ΣΧ. ΛΥΚ. 1159
λόφου τῆς Τροίας καλουμένου Τράρωνος· εἶτα τοὺς Λοκροὺς
τὴν μὲν θάψαι, σιωπῆσαι δὲ καὶ μηκέτι πέμπειν τὰς παῖδας,
φάσκοντας πεπληρῶσθαι τὸν τῶν ἐτῶν χρόνον· ἀκαρπίας δὲ
5 κατασχούσης αὐτοὺς πάλιν πέμπειν οὐκέτι δύο, ἀλλὰ μίαν,
ἀρκοῦσαν εἶναι δοκοῦντας τὴν τιμωρίαν· ὁ δὲ χρησμὸς οὐκ
εἶχεν ὡρισμένον χρόνον· ἀλλ' || ἀντὶ τῆς ἀδικίας τῆς Κασάνδρας TZETZ.
ἐδήλου στέλλειν δύο κόρας || .

Τίμαιος ὁ τὰς Σικελικὰς ἱστορίας συγγεγραφὼς ἐν Ῥη- ANTIG. I
10 γίῳ φησὶ τοὺς Λοκροὺς καὶ τοὺς Ῥηγίνους ὁρίζοντος Ἄληκος
καλουμένου ποταμοῦ τῶν τεττίγων τοὺς μὲν ἐν τῇ Λοκρικῇ
ᾄδειν, τοὺς δὲ ἐν τῇ Ῥηγίνων ἀφώνους εἶναι. λέγεται δέ τι
τούτου μυθωδέστερον· ἀφικομένων γὰρ εἰς Δελφοὺς κιθαρῳ-
δῶν Ἀρίστωνος μὲν ἐκ Ῥηγίου, παρὰ δὲ Λοκρῶν Εὐνόμου,
15 καὶ περὶ τοῦ κλήρου πρὸς ἑαυτοὺς εἰς ἀντιλογίαν ἐλθόντων,
ὁ μὲν οὐκ ᾤετο δεῖν ἐλαττοῦσθαι, τῆς ὅλης Ῥηγίνων ἀποικίας
ἐκ Δελφῶν καὶ παρὰ τοῦ θεοῦ γεγενημένης, ὁ δὲ κατέτρεχεν,
ὅτι τὸ παράπαν οὐδὲ κιθαρῳδεῖν καθήκει, παρ' οἷς οὐδ' οἱ
τέττιγες ᾄδουσιν. εὐημερήσαντος γοῦν τοῦ Ῥηγίνου ἐν τῷ
20 ἀγῶνι, ἐνίκησεν Εὔνομος ὁ Λοκρὸς παρὰ τοιαύτην αἰτίαν·
ᾄδοντος αὐτοῦ μεταξὺ || μιᾶς τῶν χορδῶν ῥαγείσης || τέττιξ STRABO 260
ἐπὶ τὴν λύραν ἐπιπτὰς ᾖδεν, ἡ δὲ πανήγυρις ἀνεβόησεν ἐπὶ
τῷ γεγονότι καὶ ἐκέλευσεν ἐᾶν.

Καὶ ἄλλο δὲ παρὰ τοῖς Ῥηγίνοις τοιοῦτον ὡς μυθικὸν II
25 ἱστορεῖται, ὅτι Ἡρακλῆς ἔν τινι τόπῳ τῆς χώρας κατακοιμη-
θεὶς καὶ ἐνοχλούμενος ὑπὸ τῶν τεττίγων ηὔξατο αὐτοὺς ἀφώ-
νους γενέσθαι.

Οἳ δ' αὖ Πελασγῶν ἀμφὶ Μέμβλητος ῥοὰς ΛΥΚ. 1083 sqq.
νῆσόν τε Κερνεᾶτιν ἐκπεπλωκότες
30 ὑπὲρ πόρον Τυρσηνὸν ἐν Λαμητίαις
δίναισιν οἰκήσουσιν Λευκανῶν πλάκας.

Τέμεσσα πόλις Ἰταλίας, ἔνθα μετὰ τὴν ἅλωσιν τοῦ Ἰλίου ΣΧ. ΛΥΚ. 1067

---

2. Τάρωνος cod. 3. σιωπῆσαι] vox videtur corrupta esse. 4. φάσκοντες cod. 7. ἀλλ' εἰς δύο ἀντὶ τῆς ἀδικίας τὴν Κασάνδραν schol. 22. ἐπιστὰς Bockmann e Strabone 260; tuetur ἐπιπτὰς Conon 5. 23. ἐκέλευσε νικᾶν Heyne. 32. Τεμεσία schol. Τέμεσσαν Lyc. 1067. cf. Tz. ibid.

Σχεδίος καὶ Ἐπίστροφος οἱ τοῦ Ἰφίτου τοῦ Ναυβόλου παῖδες ᾤκησαν.

ΛΥΚ. 1068 Oppidum autem iacet prope Lampeten montem ex adverso Hipponii oppidi situm.

STRABO 252 *(Μετὰ δὲ τὸ στόμα τοῦ Σιλάριδος Λευκανία καὶ) τὸ τῆς Ἥρας ἱερὸν τῆς Ἀργῴας, Ἰάσονος ἵδρυμα . . . .* 5

DIOD. IV 21, 5 *Ὁ δ' οὖν Ἡρακλῆς (ἀπὸ τοῦ Τιβέρεως ἀναζεύξας καὶ διεξιὼν τὴν παράλιον τῆς νῦν Ἰταλίας ὀνομαζομένης) κατήντησεν εἰς τὸ Κυμαῖον πεδίον, ἐν ᾧ μυθολογοῦσιν ἄνδρας γενέσθαι ταῖς τε ῥώμαις προέχοντας καὶ ἐπὶ παρανομίᾳ διωνομασμένους, οὓς ὀνομάζεσθαι γίγαντας. ὠνομάσθαι δὲ καὶ τὸ πεδίον τοῦτο Φλεγραῖον ἀπὸ τοῦ λόφου τοῦ τὸ παλαιὸν ἐκφυσῶντος ἄπλατον πῦρ παραπλησίως τῇ κατὰ τὴν Σικελίαν Αἴτνῃ. . . . τοὺς δ' οὖν γίγαντας πυθομένους τὴν Ἡρακλέους παρουσίαν ἀθροισθῆναι πάντας καὶ παρατάξασθαι τῷ προειρημένῳ. θαυμαστῆς δὲ γενομένης μάχης κατά τε τὴν ῥώμην καὶ τὴν ἀλκὴν τῶν γιγάντων, φασὶ τὸν Ἡρακλέα, συμμαχούντων αὐτῷ τῶν θεῶν, κρατῆσαι τῇ μάχῃ, καὶ τοὺς πλείστους ἀνελόντα τὴν χώραν ἐξημερῶσαι. μυθολογοῦνται δ' οἱ γίγαντες γηγενεῖς γεγονέναι διὰ τὴν ὑπερβολὴν τοῦ κατὰ τὸ σῶμα μεγέθους. καὶ περὶ μὲν τῶν ἐν Φλέγρᾳ φονευθέντων γιγάντων τοιαῦτα μυθολογοῦσί τινες, οἷς καὶ Τίμαιος ὁ συγγραφεὺς ἠκολούθησεν.* 10 15 20

22 *Ὁ δ' Ἡρακλῆς ἐκ τοῦ Φλεγραίου πεδίου κατελθὼν ἐπὶ τὴν θάλατταν κατεσκεύασεν ἔργα περὶ τὴν Ἄορνον ὀνομαζομένην λίμνην, ἱερὰν δὲ Φερσεφόνης νομιζομένην. κεῖται μὲν οὖν ἡ λίμνη μεταξὺ Μισηνοῦ καὶ Δικαιαρχείων, πλησίον τῶν θερμῶν ὑδάτων* ‖ ΘΑΥΜ. ἈΚ. 102 *αὐτὴ μέν, ὡς ἔοικεν, οὐκ ἔχουσά τι θαυμαστόν· περικεῖσθαι γὰρ λέγουσι περὶ αὐτὴν λόφους κύκλῳ, τὸ ὕψος οὐκ ἐλάσσους τριῶν σταδίων, καὶ αὐτὴν εἶναι τῷ σχήματι κυκλοτερῆ, τὸ βάθος ἔχουσαν ἀνυπέρβλητον. ἐκεῖνο δὲ θαυμάσιον φαίνεται· ὑπερκειμένων γὰρ αὐτῇ πυκνῶν δένδρων καί τινων ἐν αὐτῇ κατακεκλιμένων* ‖ ANTIG. 152 *καὶ πολλῶν κλάδων καὶ φύλλων διὰ τὰ πνεύματα τῶν μὲν κατακλωμένων,* 25 30

1. *Ναυβούλου* cod. 3—4. Lycophronis interpretatio valde dubia est. 13. *ἄπλατον πῦρ ἐκφυσῶντος* vulg. 14. *τὴν*] *τὴν τοῦ* vulg. 25. *νομιζομένην* Stephanus, *ὀνομαζομένην* libri.

τῶν δὲ ἀποσειομένων || οὐδὲν ἔστιν ἰδεῖν φύλλον ἐπὶ τοῦ ὕδατος ἐφεστηκός, ἀλλ' οὕτω καθαρώτατόν ἐστι τὸ ὕδωρ ὥστε τοὺς θεωμένους θαυμάζειν. || ἔχουσα γὰρ ὕδωρ καθαρώτατον φαίνεται τῇ χρόᾳ κυανοῦν διὰ τὴν ὑπερβολὴν τοῦ βάθους. || 5 περὶ δὲ τὴν ἀπέχουσαν ἤπειρον αὐτῆς οὐ πολὺ θερμὸν ὕδωρ πολλαχόθεν ἐκπίπτει καὶ ὁ τόπος ἅπας καλεῖται Πυριφλεγέθων. ὅτι δὲ οὐδὲν διίπταται ὄρνεον αὐτὴν ψεῦδος· || τὰ πλεῖστα γὰρ κατατυχεῖν (sc. Timaeus) τῶν εἰθισμένων παρ' αὐτῇ διαιτᾶσθαι· || πλῆθός τι κύκνων |· μυθολογοῦσι δὲ τὸ μὲν 10 παλαιὸν γεγενῆσθαι νεκυομαντεῖον πρὸς αὐτῇ, ὃ τοῖς ὕστερον χρόνοις καταλελύσθαι φασίν.

ΘΑΥΜ. ἈΚ. l. l. — DIOD. l. l. — ΘΑΥΜ. ἈΚ. l. l. — ANTIG. l. l. — ΘΑΥΜ. ἈΚ. l. l. — DIOD. l. l.

Ast hic Lucrino mansisse vocabula quondam
Cocyti memorant — (SIL. IT. XII 116)

ubi Iuppiter contra Gigantes Titanesque pugnaturus lympha 15 aureis scyphis hausta constituit ut per Stygem dis iurandum esset. (ΛΥΚ. 707)

Ἀναπεπταμένης δὲ τῆς λίμνης εἰς τὴν θάλατταν, τὸν Ἡρακλέα λέγεται τὸν μὲν ἔκρουν ἐγχῶσαι, τὴν δ' ὁδὸν τὴν νῦν οὖσαν παρὰ θάλατταν κατασκευάσαι, τὴν ἀπ' ἐκείνου 20 καλουμένην Ἡρακλείαν. (DIOD. l. l.)

Veniens autem Hercules de Hispania per Campaniam in quadam Campaniae civitate pompam triumphi sui exhibuit: unde Pompei dicitur civitas. (SERV. AEN. VII 662)

. . . Bauli, locus Herculis dictus quasi Boaulia, quod illic 25 habuit animalia, quae Geryoni detracta ex Hispania adduxerat. (SERV. AEN. VI 107)

Ἡρακλῆς (δ' ἐπεὶ τά τε κατὰ τὴν Ἰταλίαν ἅπαντα ὡς ἐβούλετο κατεστήσατο καὶ ὁ ναυτικὸς αὐτῷ στρατὸς σῶος ἐξ Ἰβηρίας ἀφίκετο, θύσας τοῖς θεοῖς τὰς δεκάτας τῶν λαφύρων 30 καὶ) πολίχνην ἐπώνυμον αὐτοῦ κτίσας, (ἔνθα ὁ στόλος αὐτῷ ἐναυλόχει, ἣ καὶ νῦν ὑπὸ Ῥωμαίων οἰκουμένη Νέας πόλεως καὶ Πομπηίας ἐν μέσῳ κεῖται λιμένας ἐν παντὶ καιρῷ βεβαίους ἔχουσα), δόξης τε καὶ ζήλου καὶ τιμῶν ἰσοθέων παρὰ πᾶσιν τοῖς οἰκοῦσιν ἐν Ἰταλίᾳ τυχὼν ἀπῆρεν εἰς Σικελίαν. (DIONYS. I 44 [VARRO])

---

8. κατὰ τύχην cod. 24. *Bauloe, Bauloae, Baulio, Baulyae* codd. coniecit Βαῦλοι Thilo. 27. Uncis inclusi quae certe Timaei non videntur esse.

DIOD. IV 22, 3 Ταῦτα μὲν οὖν ἔπραξε περὶ ἐκείνους τοὺς τόπους. ἐντεῦθεν δ' ἀναζεύξας κατήντησε τῆς Ποσειδωνιατῶν χώρας πρός τινα πέτραν, πρὸς ᾗ μυθολογοῦσιν ἴδιόν τι γενέσθαι καὶ παράδοξον. τῶν γὰρ ἐγχωρίων τινὰ κυνηγὸν ἐπὶ τοῖς κατὰ τὴν θήραν ἀνδραγαθήμασι διωνομασμένον ἐν μὲν τοῖς ἔμ- 5 προσθεν χρόνοις εἰωθέναι τῶν ληφθέντων θηρίων τὰς κεφαλὰς καὶ τοὺς πόδας ἀνατιθέναι τῇ Ἀρτέμιδι καὶ προσηλοῦν τοῖς δένδρεσι; τότε δ' οὖν ὑπερφυῆ κάπρον χειρωσάμενον καὶ τῆς θεοῦ καταφρονήσαντα εἰπεῖν ὅτι τὴν κεφαλὴν τοῦ θηρίου ἑαυτῷ ἀνατίθησι, καὶ τοῖς λόγοις ἀκολούθως ἔκ τινος δένδρου 10 κρεμάσαι ταύτην, αὐτὸν δέ, καυματώδους περιστάσεως οὔσης, κατὰ μεσημβρίαν εἰς ὕπνον τραπῆναι· καθ' ὃν δὴ χρόνον τοῦ δεσμοῦ λυθέντος αὐτομάτως πεσεῖν τὴν κεφαλὴν ἐπὶ τὸν κοιμώμενον καὶ διαφθεῖραι. ἀλλὰ γὰρ οὐκ ἄν τις θαυμάσειε τὸ γεγονός, ὅτι τῆς θεᾶς ταύτης πολλαὶ περιστάσεις μνημονεύονται 15 περιέχουσαι τὴν κατὰ τῶν ἀσεβῶν τιμωρίαν.

ΘΑΥΜ. ἈΚ. 103 Φασὶ τὰς Σειρηνούσας κεῖσθαι μὲν ἐν τῇ Ἰταλίᾳ περὶ τὸν πορθμὸν ἐπ' αὐτῆς τῆς ἄκρας, προπεπτωκότος τοῦ τόπου καὶ διαλαμβάνοντος τοὺς κόλπους τόν τε περιέχοντα τὴν Κύμην καὶ τὸν διειληφότα τὴν καλουμένην Ποσειδωνίαν· ἐν ᾧ 20 καὶ νεὼς αὐτῶν [sc. Sirenum] ἵδρυται καὶ τιμῶνται καθ' ὑπερβολὴν ὑπὸ τῶν περιοίκων θυσίαις ἐπιμελῶς· ὧν καὶ τὰ ὀνόματα μνημονεύοντες καλοῦσι τὴν μὲν Παρθενόπην, τὴν δὲ Λευκωσίαν, τὴν δὲ τρίτην Λίγειαν.

* ΣΧ. ΛΥΚ. 670 . . . οἱ Κένταυροι φεύγοντες ἀπὸ Θεσσαλίας τὸν Ἡρακλέα 25 ἦλθον εἰς τὴν τῶν Σειρήνων νῆσον, θελγόμενοι δὲ ὑπὸ τούτων ἀπώλοντο.

ΛΥΚ. 712sqq. Sirenes autem filiae erant Acheloi et Melpomenes. Quarum cum scopulos Ulixes incolumis esset praetervectus, ipsae se de rupe in mare proiecerunt. Ac Parthenopen 30 quidem in regionem Neapolitanam versus, ubi Φαλήρου

1. ἐκείνους D τούτους cett. 4. ἐπὶ] ἐν codd. corr. Wil. 12. κατὰ μεσημβρίαν D κατὰ τὴν μεσ. cett. 18. post ἄκρας cod.: ὅς κεῖται πρὸ. cum Salmasio verba omisi Stephano Byzantio collato. ‖ προπεπτωκότος τοῦ τόπου] τοῦ προπεπτωκότος τόπου, τοῦ πεπτ. τόπ. codd. τοῦ ἀποπεπτωκότος libri Stephani Byz. 19. τοῖς κόλποις codd. Steph. corr. tamen iandudum Salmasius.

τύρσις est et Glanis flumen se effundit, delatam eique sacra
annua cum statua decreta esse narrant. *φησὶ Τίμαιος* ΣΧ. ΛΥΚ. 732
Διότιμον τὸν Ἀθηναίων ναύαρχον παραγενόμενον ἐς Νεάπολιν
κατὰ χρησμὸν θῦσαι τῇ Παρθενόπῃ καὶ δρόμον ποιῆσαι λαμ-
5 *πάδων, διὸ καὶ νῦν τὸν τῆς λαμπάδος ἀγῶνα γίνεσθαι παρὰ*
τοῖς Νεαπολίταις.

Leucosia autem abrupta esse dicitur ad promuntorium ΛΥΚ. 722
Enipeum, ubi vertiginosus Is et Laris in mare se proiciunt.
Ligea vero Terinam ablata ibique prope Ocinarum a nautis
10 sepulta esse memoratur. || *insula Ligea appellata ab eiecto* SOLIN. 35, 18 M.
ibi corpore Sirenis ita nominatae. ||

Μετὰ δὲ Δικαιάρχειάν ἐστι Νεάπολις Κυμαίων — STRABO 246
ὕστερον δὲ καὶ Χαλκιδεῖς ἐπῴκησαν καὶ Πιθηκουσαίων τινὲς
καὶ Ἀθηναίων, ὥστε καὶ Νεάπολις ἐκλήθη διὰ τοῦτο — . . . .
15 . . . (*ἐπεὶ*) *τίς ἔπεισε ποιητὴς ἢ συγγραφεὺς Νεαπολίτας* STRABO 26
μὲν λέγειν μνῆμα Παρθενόπης τῆς Σειρῆνος, τοὺς δὲ ἐν Κύμῃ
καὶ Δικαιαρχείᾳ καὶ Βεσβίῳ Πυριφλεγέθοντα καὶ Ἀχερουσίαν
λίμνην καὶ νεκυομαντεῖον τὸ ἐν τῷ Ἀόρνῳ καὶ Βάιον καὶ
Μισηνὸν τῶν Ὀδυσσέως ἑταίρων τινάς;

20 *Oebalus filius est Telonis et nymphae Sebethidis. haec* SERV. AEN. VII 734
autem est iuxta Neapolim. sed Telo diu regnavit apud Capreas, insulam contra Neapolim sitam. filius vero eius, patriis
non contentus imperiis, transiit ad Campaniam et multis po-
pulis subiugatis suum dilatavit imperium.

25 *Cumas vocaverunt* <sc. Chalcidenses> . . *ἀπὸ τῶν κυ-* * SERV. AEN. III 441
μάτων. . . .

Cimmerii Cumis fuisse feruntur. ΛΥΚ. 695

Ἐν τῇ Κύμῃ τῇ περὶ τὴν Ἰταλίαν δείκνυταί τις, ὡς ἔοικε, ΘΑΥΜ. ἈΚ. 95
θάλαμος κατάγειος || cavo tecto constrata || *Σιβύλλης τῆς χρησμο-* ΛΥΚ. 1280
30 *λόγου, ἣν πολυχρονιωτάτην γενομένην παρθένον διαμεῖναί*
φασιν, οὖσαν μὲν Ἐρυθραίαν, ὑπὸ δέ τινων τὴν Ἰταλίαν
κατοικούντων Κυμαίαν Μελάγκραιραν καλουμένην. τοῦτον
δὲ τὸν τόπον λέγεται κυριεύεσθαι ὑπὸ Λευκανῶν. εἶναι δὲ
λέγουσιν ἐν ἐκείνοις τοῖς τόποις περὶ τὴν Κύμην ποτα-

---

10. *abiecto* libri corr. Salmasius. 31. *ὑπό τινων δὲ τ. Ἰ. κ. Κ. ὑπὸ δέ τινων M.* codd. em. Wil.

μόν τινα Κετὸν ὀνομαζόμενον, εἰς ὃν φασι [τὸν πλείω χρόνον] τὸ ἐμβληθὲν πρῶτον περιφύεσθαι καὶ τέλος ἀπολιθοῦσθαι.

ΣΧ. ΛΥΚ. 1464 Νησὼ δὲ μήτηρ Σιβύλλης.

SERV. AEN. VI 321 *Sibyllam Apollo pio amore dilexit et ei obtulit poscendi quod vellet arbitrium. illa hausit arenam manibus et tam longam vitam poposcit. cui Apollo respondit id posse fieri, si Erythraeam, in qua habitabat, insulam relinqueret et eam nunquam videret. profecta igitur Cumas tenuit et illic defecta corporis viribus vitam in sola voce retinuit. quod cum cives eius cognovissent, sive invidia, sive miseratione commoti, ei epistolam miserunt creta antiquo more signatam: qua visa, quia erat de eius insula, in mortem soluta est.*

ΣΧ. ΛΥΚ. 697 Ὄσσα ὄρος Ἰταλίας μέγιστον . . . . .

ΛΥΚ 699—703
— ἔνθα δύσβατος
τείνει πρὸς αἴθραν κρᾶτα Πολυδέγμων λόφος,
ἐξ οὗ τὰ πάντα χύτλα καὶ πᾶσαι μυχῶν
πηγαὶ κατ' Αὐσονῖτιν ἕλκονται χθόνα —
— — — — Ληθαιῶνος ὑψηλὸν κλέτας.

STRABO 248 Καὶ Τίμαιος δὲ περὶ τῶν Πιθηκουσῶν φησιν ὑπὸ τῶν παλαιῶν πολλὰ παραδοξολογεῖσθαι, μικρὸν δὲ πρὸ ἑαυτοῦ τὸν Ἐπωμέα λόφον ἐν μέσῃ τῇ νήσῳ τιναγέντα ὑπὸ σεισμῶν ἀναβαλεῖν πῦρ καὶ τὸ μεταξὺ αὐτοῦ καὶ τῆς θαλάττης ἐξῶσαι ἐπὶ τὸ πέλαγος, τὸ δ' ἐκτεφρωθὲν τῆς γῆς μετεωρισμὸν λαβὸν κατασκῆψαι πάλιν τυφωνοειδῶς εἰς τὴν νῆσον καὶ ἐπὶ τρεῖς τὴν θάλατταν ἀναχωρῆσαι σταδίους, ἀναχωρήσασαν δὲ μετ' οὐ πολὺ ὑποστρέψαι καὶ τῇ παλιρροίᾳ κατακλύσαι τὴν νῆσον καὶ γενέσθαι σβέσιν τοῦ ἐν αὐτῇ πυρός· ἀπὸ δὲ τοῦ ἦχου τοὺς ἐν τῇ ἠπείρῳ φυγεῖν ἐκ τῆς παραλίας εἰς τὴν Καμπανίαν. —

ΣΧ. ΛΥΚ. 688 Ταύτας δὲ ᾤκουν πρῶτον Γίγαντες || in his Typhon ||

ΛΥΚ. 689 ὕστερον δὲ ὁ Ζεὺς χειρωσάμενος αὐτοὺς ἐπέθηκεν αὐτοῖς τὰς νήσους· καὶ γὰρ ἐκεῖ κατῴκισε πιθήκους πρὸς ἀτιμίαν καὶ αἰσχύνην τῶν Γιγάντων.

ΘΑΥΜ. ἈΚ. 78 Λέγεται δὲ περὶ τὴν Ἰταλίαν ἐν τῷ Κιρκαίῳ ὄρει φάρ-

1. Κετὸν] κάπαν pr. S: σκετὸν rc. S: τὸν — χρόνον del. Wil. 13. ὥς φησι Μητρόδωρος post μέγιστον omisi. 21. Ἐπωπέα Coraes. Nissen: Ital. Landesk. I 252. 22. ἐξῶσαι πάλιν ἐπὶ codd. πάλιν del. Kramer. 28. τὴν ἄνω Κ. nonnulli.

μακόν τι φύεσθαι θανάσιμον, ὃ τοιαύτην ἔχει τὴν δύναμιν ὥστε, ἂν προσρανθῇ τινι, παραχρῆμα πίπτειν ποιεῖ, καὶ τὰς τρίχας τὰς ἐν τῷ σώματι ἀπομαδᾶν, καὶ τὸ σύνολον τοῦ σώματος διαρρεῖν τὰ μέλη, ὥστε τὴν ἐπιφάνειαν τοῦ σώματος 5 εἶναι τῶν ἀπολλυμένων ἐλεεινήν· τοῦτο δέ φασι μέλλοντας διδόναι Κλεωνύμῳ τῷ Σπαρτιάτῃ Αὖλον τὸν Πευκέστιον καὶ Γάιον φωραθῆναι καὶ ἐξετασθέντας ὑπὸ Ταραντίνων θανατωθῆναι.

Τίμαιος δέ φησιν, πεδίον ἐν Κόλχοις εἶναι Κίρκαιον. SCHOL. AP. RH. II 399

10 Ὅτι τῆς Τροίας ἁλούσης Αἰνείας μετά τινων καταλαβόμενος μέρος τῆς πόλεως τοὺς ἐπιόντας ἠμύνετο. τῶν δὲ Ἑλλήνων ὑποσπόνδους τούτους ἀφέντων καὶ συγχωρησάντων ἑκάστῳ λαβεῖν ὅσα δύναιτο τῶν ἰδίων, οἱ μὲν ἄλλοι πάντες ἄργυρον ἢ χρυσὸν ἤ τινα τῆς ἄλλης πολυτελείας ἔλαβον, 15 Αἰνείας δὲ τὸν πατέρα γεγηρακότα τελέως ἀράμενος ἐπὶ τοὺς ὤμους ἐξήνεγκεν. ἐφ' ᾧ θαυμασθεὶς ὑπὸ τῶν Ἑλλήνων ἔλαβεν ἐξουσίαν πάλιν ὃ βούλοιτο τῶν οἴκοθεν ἐκλέξασθαι. ἀνελομένου δὲ αὐτοῦ τὰ ἱερὰ τὰ πατρῷα, πολὺ μᾶλλον ἐπαινεθῆναι συνέβη τὴν ἀρετήν, καὶ παρὰ πολεμίων ἐπισημασίας τυγχά- 20 νουσαν. ἐφαίνετο γὰρ ὁ ἀνὴρ ἐν τοῖς μεγίστοις κινδύνοις πλείστην φροντίδα πεποιημένος τῆς τε πρὸς γονεῖς ὁσιότητος καὶ τῆς πρὸς θεοὺς εὐσεβείας. διόπερ φασὶν αὐτῷ συγχωρηθῆναι μετὰ τῶν ὑπολειφθέντων Τρώων ἐκχωρῆσαι τῆς Τρῳάδος μετὰ πάσης ἀσφαλείας καὶ ὅποι βούλεται. DIOD. VII 4

25 Ac primum quidem in Macedoniam delatus est <ibique oppidum condidit quod ex suo nomine Aeneam appellavit>. Deinde in Italiam profectus classe ad Etruriam appulsa Nanum offendit, qui suppliciter Aeneae fide implorata societatem cum eo fecit. Nec non Tyrrhenus et Tarcho 30 Herculis filii natione Lydi, cum duce Troiano foedus icisse feruntur. Quo quidem tempore cum forte ipse sociique eius cenantes adoreis libis pro lancibus usi essent atque postremo etiam mensas illas paniceas comedissent, evenisse cognitum est, quod oraculo olim eis nuntiatum erat, tum ΛΥΚ. 1226—1280

6. Αὖλον] ἄρουν rc. S². | Πευκέντιον S². 19. καίπερ ὑπὸ πολεμίων cod. corr. Reiske. 24. ὅπου cod. corr. Krebs. 25. ibique — appellavit uncis inclusi, narratio enim indicatur tantum a Lycophrone, non explicatur.

demum laborum venturum fuisse finem, cum fame coacti etiam mensis non pepercissent. In finibus autem Boreigonorum, supra Latinos Dauniosque incolentium triginta condidit arces e numero porcellorum illorum, quos Troia sus pepererat, quorum cum matre simulacra aenea in 5 oppido quodam excudenda iussit. Minervae deinde templo

DION. I 67 Lavinii aedificato penates Troianos imposuit. *σχήματος δὲ καὶ μορφῆς αὐτῶν πέρι Τίμαιος μὲν ὁ συγγραφεὺς ὧδε ἀποφαίνεται· κηρύκια σιδηρᾶ καὶ χαλκᾶ καὶ κέραμον Τρωικὸν εἶναι τὰ ἐν τοῖς ἀδύτοις τοῖς ἐν Λαουϊνίῳ κείμενα ἱερά,* 10 *πυθέσθαι δὲ αὐτὸς ταῦτα παρὰ τῶν ἐπιχωρίων.* Tum Romam ipsam condidit, arcem prope Circaei valles, Aieten, portum Argus, paludem *Φόρκης Μαρσιώτιδος*, Titoniam aquam, quae terra hauritur sedemque Sibyllae sitam. Duplicem autem reliquit prolem, Romylum et Romum; gens ipsa victoriis 15 splendidissimis insignis terra marique longe lateque imperium ac dominationem tenet.

TERTVLLIAN de spect. 139, 28 *Lydos ex Asia transvenas in Hetruria consedisse, ut Timaeus refert, duce Tyrrheno, qui fratri suo cesserat regni contentione . . .* 20

*STEPH. BYZ. *Ἄγυλλα . . . ἔστι δὲ κτίσμα τῶν ἐκ Θετταλίας Πελασγῶν, μετωνομάσθη δὲ Καῖρε. Θετταλῶν γὰρ κρατούντων τῆς πόλεως προσελθών τις τῶν ἀπὸ Λυδίας μετοικησάντων Τυρρηνῶν ἠρώτα τί ἂν εἴη τὸ ὄνομα τῆς πόλεως, τὶς δὲ ἀντὶ τῆς ἀποκρίσεως τὸ ‚χαῖρε' εἶπεν. ὅθεν Τυρρηνοὶ κρατήσαντες* 25 *Καῖρε προσηγόρευσαν.*

ΛΥΚ. 1355 sqq. Agyllam Etrusci ceperunt, cum Ligustinis et Pelasgis manum conseruerunt. Pisa autem capta omnibusque prope Umbriam regionibus occupatis imperium usque ad *Σαλπίων* altissimos montes protulerunt. 30

ΛΥΚ. 1241 Agylla plena ovibus est.

*IVSTIN. XX 1, 11 *Sed et Pisae in Liguribus Graecos auctores habent et in Tuscis Tarquinii . . . Perusini quoque originem ab Achaeis ducunt.*

---

3. *ὑπὲρ Λακίου Δαυνίου* Steph. rec. Scheer. 13. *Φούκης* coniec. Scheer. Schol. 1274: *Φόρκη . . ἀπέχουσα Ῥώμης σταδίους πεντακοσίους* fortasse Timaei doctrinam prae se fert.

Λυγκεύς . . ποταμὸς Ἰταλίας (sc. Etruriae) *θερμὰ ὕδατα ἔχων.* * ΣΧ. ΛΥΚ. 1240

Τῆς γὰρ Τυρρηνίας κατὰ τὴν ὀνομαζομένην πόλιν Ποπλώνιον νῆσός ἐστιν, ἣν ὀνομάζουσιν Αἰθάλειαν. αὕτη δὲ τῆς DIOD. V 13
5 *παραλίας ἀπέχουσα σταδίους ὡς ἑκατὸν τὴν μὲν προσηγορίαν εἴληφεν ἀπὸ τοῦ πλήθους τοῦ καθ' αὐτὴν αἰθάλου. πέτραν γὰρ ἔχει πολλὴν σιδηρῖτιν, ἣν τέμνουσιν ἐπὶ τὴν χωνείαν καὶ κατασκευὴν τοῦ σιδήρου, πολλὴν ἔχοντες τοῦ μετάλλου δαψίλειαν. οἱ γὰρ ταῖς ἐργασίαις προσεδρεύοντες κόπτουσι τὴν*
10 *πέτραν καὶ τοὺς τμηθέντας λίθους κάουσιν ἔν τισι φιλοτέχνοις καμίνοις· ἐν δὲ ταύταις τῷ πλήθει τοῦ πυρὸς τήκοντες τοὺς λίθους καταμερίζουσιν εἰς μεγέθη σύμμετρα, παραπλήσια ταῖς ἰδέαις μεγάλοις σπόγγοις. ταῦτα συναγοράζοντες ἔμποροι καὶ μεταβαλλόμενοι κομίζουσιν εἴς τε Δικαιάρχειαν καὶ εἰς τἆλλα*
15 *ἐμπόρια. ταῦτα δὲ τὰ φορτία τινὲς ὠνούμενοι καὶ τεχνιτῶν χαλκέων πλῆθος ἀθροίζοντες κατεργάζονται, καὶ ποιοῦσι σιδήρου πλάσματα παντοδαπά. τούτων δὲ τὰ μὲν εἰς ὀρνέων τύπους χαλκεύουσι, τὰ δὲ πρὸς δικελλῶν καὶ δρεπάνων καὶ τῶν ἄλλων ἐργαλείων εὐθέτους τύπους φιλοτεχνοῦσιν· ὧν*
20 *κομιζομένων ὑπὸ τῶν ἐμπόρων εἰς πάντα τόπον πολλὰ μέρη τῆς οἰκουμένης μεταλαμβάνει τῆς ἐκ τούτων εὐχρηστίας.*

Ἐν δὲ τῇ Τυρρηνίᾳ λέγεταί τις νῆσος Αἰθάλεια ὀνομαζομένη, ἐν ᾗ ἐκ τοῦ αὐτοῦ μετάλλου πρότερον μὲν χαλκὸς ὠρύσσετο, ἐξ οὗ φασι πάντα ⟨τὰ⟩ κεχαλκευμένα παρ' αὐτοῖς ΘΑΥΜ. ἈΚ. 93
25 *εἶναι, ἔπειτα μηκέτι εὑρίσκεσθαι, χρόνου δὲ διελθόντος πολλοῦ φανῆναι ἐκ τοῦ αὐτοῦ μετάλλου σίδηρον, ᾧ νῦν ἔτι χρῶνται Τυρρηνοὶ οἱ τὸ καλούμενον Ποπλώνιον οἰκοῦντες.*

Ἔστι δέ τις ἐν τῇ Τυρρηνίᾳ πόλις Οἰναρέα καλουμένη, ἥν ὑπερβολῇ φασιν ὀχυρὰν εἶναι· ἐν γὰρ μέσῃ αὐτῇ λόφος 94
30 *ἐστὶν ὑψηλὸς τριάκοντα σταδίους, ἔχων ἄνω καὶ κάτω ὕλην παντοδαπὴν καὶ ὕδατα. φοβουμένους οὖν τοὺς ἐνοικοῦντας λέγουσι μή τις τύραννος γένηται, προΐστασθαι αὐτῶν τοὺς ἐκ*

---

7. *σιδηρίτην* D. 14. *Δικαιαρχίαν* codd. 17. *ὀρνέων* codd. *ὅπλων* Bezzel, *τόρνων* Wurm, *ὄγκων* Madvig. 24. *τὰ* inserendum. 27. *οἱ* om. S^{a} ‖ *Ποπάνιον* S^{a} corr. Victorius. 28. *Οἶνα* Steph. Byz. *Οὐλατέρρα* Victorius. 30. *ἀνέχων* codd. locum em. Wil. 32. *προΐστάναι* Victorius.

τῶν οἰκετῶν ἠλευθερωμένους· καὶ οὗτοι ἄρχουσιν αὐτῶν, κατ' ἐνιαυτὸν δ' ἄλλους ἀντικαθιστάναι τοιούτους.

ATHEN. 153 d

Τίμαιος δ' ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν καὶ τὰς θεραπαίνας φησὶ παρ' αὐτοῖς μέχρι οὗ ἂν αὐξηθῶσι γυμνὰς διακονεῖσθαι. 5

* ΣΧ. ΛΥΚ. 1409 . . Μάμερτος ὁ Ἄρης.

* ΣΧ. ΛΥΚ. 1417 . . Μάμερσα ἡ Ἀθηνᾶ.

* ΛΥΚ. 1332 Neptunus.

10

LIGURIA GALLIA HISPANIA.

ΘΑΥΜ. ἈΚ. 85

Ἐκ τῆς Ἰταλίας φασὶν ἕως τῆς Κελτικῆς καὶ Κελτολιγύων καὶ Ἰβήρων εἶναί τινα ὁδὸν Ἡράκλειαν καλουμένην, δι' ἧς 15 ἐάν τε Ἕλλην ἐάν τε ἐγχώριός τις πορεύηται, τηρεῖσθαι ὑπὸ τῶν παροικούντων, ὅπως μηδὲν ἀδικηθῇ· τὴν γὰρ ζημίαν ἐκτίνειν καθ' οὓς ἂν γένηται τὸ ἀδίκημα.

SCYMN. 201 sqq.

ἔπειτα παραθαλάττιοι κάτω
Λίγυες ἔχονται καὶ πόλεις Ἑλληνίδες, 20
ἃς Μασσαλιῶται Φωκαεῖς ἀπῴκισαν·
πρώτη μὲν Ἐμπόριον, Ῥόδη δὲ δευτέρα·
ταύτην δὲ πρὶν ναῶν κρατοῦντες ἔκτισαν
Ῥόδιοι. μεθ' οὓς ἐλθόντες εἰς Ἰβηρίαν
οἱ Μασσαλίαν κτίσαντες ἔσχον Φωκαεῖς 25
Ἀγάθην Ῥοδανουσίαν τε, Ῥοδανὸς ἣν μέγας
ποταμὸς παραρρεῖ, Μασσαλία δ' ἐστ' ἐχομένη
πόλις μεγίστη, Φωκαέων ἀποικία.
ἐν τῇ Λιγυστικῇ δὲ ταύτην ἔκτισαν
πρὸ τῆς μάχης τῆς ἐν Σαλαμῖνι γενομένης 30
ἔτεσιν πρότερον, ὥς φασιν, ἑκατὸν εἴκοσι.
Τίμαιος οὕτως ἱστορεῖ δὲ τὴν κτίσιν.

---

2. τούτοις malebat Sylburg. 8. Non de Neptuno dicit Lycophron, at nomen dei e versu 1332 utique eliciendum esse putavi. cf. supra p. 20, l. 14—15. Ordinem gentium turbatum esse docere mihi videtur Polyb. XII 28a. 24. Ἰβηρίαν videtur corruptum esse, nisi forte vox occidentem regionem omnino indicat.

STEPH. BYZ. s. v. *Μασσαλία.*

Τίμαιος δέ φησιν ὅτι προσπλέων ὁ κυβερνήτης καὶ ἰδὼν ἁλιέα ἐκέλευσε μάσσαι τὸ ἀπόγειον σχοινίον· μάσσαι γὰρ τὸ δῆσαί φασιν Αἰολεῖς· ἀπὸ γοῦν τοῦ ἁλιέως καὶ τοῦ μάσσαι ὠνόμασται.

ΘΑΥΜ. ἈΚ. 89

5 *Ἐν τῇ τῶν Μασσαλιωτῶν χώρᾳ περὶ τὴν Λιγυστικήν φασιν εἶναί τινα λίμνην, ταύτην δὲ ἀναζεῖν καὶ ὑπερχεῖσθαι, καὶ τοσούτους ἰχθύας ἐκβάλλειν τὸ πλῆθος ὥστε μὴ πιστεύειν. ἐπειδὰν δὲ οἱ ἐτησίαι πνεύσωσιν, ἐπιχώννυσθαι *τὸ ἔδαφος ἐπ' αὐτήν, καὶ *τοιοῦτον κονιορτὸν γίνεσθαι αὐτόθι καὶ ἀπο-*
10 *στερεοῦσθαι τὴν ἐπιφάνειαν αὐτῆς ὡσανεὶ ἔδαφος. τοῖς δὲ τριόδουσι διακόπτοντας τοὺς ἐγχωρίους ἑτοίμως ὅσους ἂν βούλωνται ἰχθύας ἐξαίρειν ἐξ αὐτῆς.*

MELA II 78

**Alioqui litus ignobile est, lapideum ut vocant, in quo Herculem contra Alebiona et Dercynon Neptuni liberos*
15 *dimicantem cum tela defecissent ab invocato Iove adiutum imbre lapidum ferunt. credas pluvisse, adeo multi passim et late iacent.*

ΘΑΥΜ. ἈΚ. 90—92

Λέγεται δέ τινας τῶν Λιγύων οὕτω σφενδονᾶν εὖ ὥστε, ὅταν πλείους ἴδωσιν ὄρνιθας, διερεθίζεσθαι πρὸς ἀλλήλους
20 *ποῖον ἕκαστος παρασκευάζεται βαλεῖν, ὡς ἑτοίμως ἁπάντων τευξομένων. ἴδιον δέ φασι καὶ τοῦτο παρ' αὐτοῖς εἶναι· αἱ γυναῖκες ἅμα ἐργαζόμεναι τίκτουσιν, καὶ τὸ παιδίον ὕδατι περικλύσασαι παραχρῆμα σκάπτουσι καὶ σκάλλουσι καὶ τἆλλα οἰκονομοῦσιν, ἃ καὶ μὴ τικτούσαις αὐταῖς ἦν πρακτέον. θαῦμα*
25 *δὲ καὶ τοῦτο παρὰ τοῖς Λίγυσι· φασὶ γὰρ παρ' αὐτοῖς ποταμὸν εἶναι, οὗ τὸ ῥεῦμα αἴρεται μετέωρον καὶ ῥεῖ, ὥστε τοὺς πέραν μὴ ὁρᾶσθαι.*

*APPIAN. ILL. 2. cf. ET. M. s. v. *Γαλατία.*

Πολυφήμῳ . . . τῷ Κύκλωπι καὶ Γαλατείᾳ Κελτὸν καὶ Ἰλλυριὸν καὶ Γαλάτην παῖδας ὄντας ἐξορμῆσαι Σικε-
30 *λίας καὶ ἄρξαι τῶν δι' αὐτοὺς Κελτῶν Ἰλλυριῶν καὶ Γαλατῶν λεγομένων.*

STRABO 183

Περὶ δὲ τῶν τοῦ Ῥοδανοῦ στομάτων Πολύβιος μὲν ἐπιτιμᾷ Τιμαίῳ φήσας εἶναι μὴ πεντάστομον ἀλλὰ δίστομον·

---

2. *κελεῦσαι* codd. *ἐκέλευσε* Eust. ad Dion. 75. 2. et 3. *μᾶσαι* codd. corr. ex Eustathio. 8. et 9. locus corruptus. 12. *ἐξαιρεῖν* Sylburg. 14. *albiona et bergyon* cod. Vat. corr. Bursian. 24. *θαυμάσιον* pr. S*. 29. *Γάλαν* Appianus. corr. ex Et. M.

ΘΑΥΜ. ἈΚ. 86

Φασὶ δὲ παρὰ τοῖς Κελτοῖς φάρμακον ὑπάρχειν τὸ καλούμενον ὑπ' αὐτῶν τοξικόν· ὃ λέγουσιν οὕτω ταχεῖαν ποιεῖν τὴν φθορὰν ὥστε τῶν Κελτῶν τοὺς κυνηγετοῦντας, ὅταν ἔλαφον ἢ ἄλλο τι ζῷον τοξεύσωσιν, ἐπιτρέχοντας ἐκ σπουδῆς ἐκτέμνειν τῆς σαρκὸς τὸ τετρωμένον πρὸ τοῦ τὸ φάρμακον 5 *διαδῦναι, ἅμα μὲν τῆς προσφορᾶς ἕνεκα, ἅμα δὲ ὅπως μὴ σαπῇ τὸ ζῷον. εὑρῆσθαι δὲ τούτῳ λέγουσιν ἀντιφάρμακον τὸν τῆς δρυὸς φλοιόν· οἱ δ' ἕτερόν τι φύλλον, ὃ καλοῦσι κοράκιον διὰ τὸ κατανοηθῆναι ὑπ' αὐτῶν κόρακα, γευσάμενον τοῦ φαρμάκου καὶ κακῶς διατιθέμενον, ἐπὶ τὸ φύλλον ὁρμή-* 10 *σαντα τοῦτο καὶ καταπιόντα παύσασθαι τῆς ἀλγηδόνος.*

SIL. ITAL. III 420—441

* *Nomen Bebrycia duxere a virgine colles,*
Hospitis Alcidae crimen, qui, sorte laborum
Geryonae peteret cum longa tricorporis arva,
Possessus Baccho saeva Bebrycis in aula 15
Lugendam formae sine virginitate reliquit
Pyrenen, letique deus, si credere fas est,
Causa fuit leti miserae deus. edidit alvo
Namque ut serpentem patriasque exhorruit iras,
Confestim dulcis liquit turbata penates. 20
Tum noctem Alcidae solis plangebat in antris
Et promissa viri silvis narrabat opacis,
Donec maerentem ingratos raptoris amores
Tendentemque manus atque hospitis arma vocantem
Diripuere ferae. laceros Tirynthius artus, 25
Dum remeat victor, lacrimis perfundit et amens
Palluit invento dilectae virginis ore.
At voce Herculea percussa cacumina montis
Intremuere iugis; maesto clamore ciebat
Pyrenen, scopulique omnes ac lustra ferarum 30
Pyrenen resonant. tumulo tum membra reponit,
Supremum illacrimans; nec honos intercidet aevo
Defletumque tenent montes per saecula nomen.

---

4. *τοξεύωσιν* S^a 8. et 10. *φύλλον*] *φυτὸν* Sylburg. 10. *ἐπὶ τὸ φύλλον* om. S^a || *ὀρούσαντα* S^a 11. *καταπιόντα τοῦτο* S^a 17. *fletique diu* Bothe. 18. *miserae, deus edidit alvo. Namque* vulgo corr. Heinsius. 32. *intercidit* vulgo.

Ἐν τῇ Ἰβηρίᾳ λέγουσι τῶν δρυμῶν ἐμπρησθέντων ὑπό τινων ποιμένων καὶ τῆς γῆς διαθερμανθείσης ὑπὸ τῆς ὕλης, φανερῶς ἀργύρῳ ῥεῦσαι τὴν χώραν, καὶ μετὰ χρόνον σεισμῶν ἐπιγενομένων καὶ τῶν τόπων ῥαγέντων πάμπληθες συναχθῆναι
5 ἀργύριον, ὃ δὴ καὶ τοῖς Μασσαλιώταις πρόσοδον ἐποίησεν οὐ τὴν τυχοῦσαν. — ΘΑΥΜ. ἈΚ. 87

Vocatur ‹sc. altera insula, in qua oppidum Gadium fuit› *ab Ephoro et Philistide Erythea, a Timaeo et Sileno Aphrodisias, ab indigenis Iunonis.* — PLIN. IV 120

10 Κοτινοῦσα μὲν ἐκαλεῖτο τὸ πρότερον ὑπὸ τῶν ἐνοικούντων, διὰ τὸ πολλοὺς εἶναι κοτίνους ἐν αὐτῇ ἢ ἀγριελαίας, ὕστερον δὲ ὑπὸ τῶν Φοινίκων μετωνομάσθη Γάδειρα διὰ τὴν στενότητα, οἷον γῆς δειρὰ ἀντὶ τοῦ τράχηλος γῆς. — SCHOL. DION. 456

Τῆς καλουμένης Αἰνιακῆς χώρας περὶ τὴν ὀνομαζομένην
15 Ὑπάτην λέγεται παλαιά τις στήλη εὑρεθῆναι, ἣν οἱ Αἰνιᾶνες τίνος ἦν εἰδέναι βουλόμενοι, ἔχουσαν ἐπιγραφὴν ἀρχαίοις γράμμασιν, ἀπέστειλαν εἰς Ἀθήνας τινὰς κομίζοντας αὐτήν. πορευομένων δὲ διὰ τῆς Βοιωτίας καί τισι τῶν ξένων ὑπὲρ τῆς ἀποδημίας ἀνακοινουμένων, λέγεται αὐτοὺς εἰσαχθῆναι
20 εἰς τὸ καλούμενον Ἰσμήνιον ἐν Θήβαις· ἐκεῖθεν γὰρ μάλιστα ἂν εὑρεθῆναι τὴν τῶν γραμμάτων ἐπιγραφήν, λέγοντες εἶναί τινα ἀναθήματα ὁμοίους ἔχοντα τοὺς ῥυθμοὺς τῶν γραμμάτων ἀρχαῖα. ὅθεν αὐτούς φασιν ἀπὸ τῶν γνωριζομένων τὴν εὕρεσιν ποιησαμένους τῶν ἐπιζητουμένων, ἀναγράψαι τούσδε τοὺς στίχους· — ΘΑΥΜ. ἈΚ. 133

25 Ἡρακλέης τεμένισσα Κυθήρᾳ Πασιφαέσσῃ
Γηρυονέως ἀγέλας ἠδ' Ἐρύθειαν ἄγων,

10. Plinii (IV 120) codd. praebent *potinusam a puteis*, coniecit Detlefsen *Potimusam*. Re vera scripsisse Plinium *Potinusam a puteis* verisimile mihi quidem videtur; aliter iudicat Muellenhoff[2] D. A. I 133 not. 12. ἀπὸ cod. 22. ὁμοίους om. S[a] 25–4. Epigramma illud nondum perpolitum dedi ex recensione G. Hermanni (op. V 179—181). Quae P. Unger (progr. Altenburg. 1887, 1—12) protulit, vana tantum figmenta sunt. Nuper de versibus egit nova collatione codicis S[a] adhibita Th. Preger: *inscript. graec. metricae ex scriptoribus praeter Anthologiam collectae* p. 79—81.
25. ἡρακλέος, suprascriptum ἡρακλέους S[a] ‖ τεμενισσ S[a] τεμένισσε (suprascr. ειτε) Bekker, corr. Hermann. ‖ φερσεφαάσση S[a] φερσεφαάσῃ cett. em. Herm. 26. γηρυονείας S[a] et Bekker em. Herm. ‖ ἀγέλας S[a] ἀγέλαν, ἀγέλων alii, ἀγέλην Ald. ‖ post ἀγέλας codd. inserunt ἐλάων, quod eiecit Welcker. ‖ ἔρυθον S[a]

τᾶς μ' ἐδάμασσε πόθῳ Πασιφάεσσα θεά.
τῇδε δέ μοι τεκνοῖ παῖδ' Ἐρύθοντα δάμαρ
νυμφογενὴς Ἐρύθη· τῇ τόδ' ἔδωκα πέδον,
μναμόσυνον φιλίας, φηγῷ ὑπὸ σκιερᾷ.

τούτῳ τῷ ἐπιγράμματι ἐπεχώρησε καὶ ὁ τόπος ἐκεῖνος Ἔρυθος 5
καλούμενος καὶ ὅτι ἐκεῖθεν τὰς βοῦς καὶ οὐκ ἐξ Ἐρυθείας
ἤγαγεν· οὐδὲ γὰρ ἐν τοῖς κατὰ Λιβύην καὶ Ἰβηρίαν τόποις
οὐδαμοῦ τὸ ὄνομά φασι λέγεσθαι τῆς Ἐρυθείας.

ΘΑΥΜ. ἈΚ. 135 Τοὺς πρώτους τῶν Φοινίκων ἐπὶ Ταρτησσὸν πλεύσαντας
λέγεται τοσοῦτον ἄργυρον ἀντιφορτίσασθαι, ἔλαιον καὶ ἄλλον 10
ναυτικὸν ῥῶπον εἰσαγαγόντας, ὥστε μηκέτι ἔχειν [δύνασθαι]
μηδὲ ἐπιδέξασθαι τὸν ἄργυρον, ἀλλ' ἀναγκασθῆναι ἀπο-
πλέοντας ἐκ τῶν τόπων τά τε ἄλλα πάντα ἀργυρᾶ, οἷς
ἐχρῶντο, κατασκευάσασθαι, καὶ δὴ καὶ τὰς ἀγκύρας πάσας.

DIOD. V 16 Μετὰ γὰρ τὰς προειρημένας νῆσός ἐστιν ὀνομαζομένη μὲν 15
Πιτυοῦσα, τὴν δὲ προσηγορίαν ἔχουσα ἀπὸ τοῦ πλήθους
τῶν κατ' αὐτὴν φυομένων πιτύων. πελαγία δ' οὖσα διέστηκεν
ἀπὸ μὲν Ἡρακλέους στηλῶν πλοῦν ἡμερῶν τριῶν καὶ τῶν
ἴσων νυκτῶν, ἀπὸ δὲ Λιβύης ἡμέρας καὶ νυκτός, ἀπὸ δ'
Ἰβηρίας μιᾶς ἡμέρας· κατὰ δὲ τὸ μέγεθος παραπλήσιός ἐστι 20
Κορκύρᾳ. κατὰ δὲ τὴν ἀρετὴν οὖσα μετρία τὴν μὲν ἀμπελό-
φυτον χώραν ὀλίγην ἔχει, τὰς δ' ἐλαίας ἐμπεφυτευμένας ἐν
τοῖς κοτίνοις. τῶν δὲ φυομένων ἐν αὐτῇ καλλιστεύειν φασὶ
τὴν μαλακότητα τῶν ἐρίων. διειλημμένη δὲ πεδίοις ἀξιολόγοις
καὶ γεωλόφοις πόλιν ἔχει τὴν ὀνομαζομένην Ἔβεσον, ἄποικον 25
Καρχηδονίων. ἔχει δὲ καὶ λιμένας ἀξιολόγους καὶ τειχῶν
κατασκευὰς εὐμεγέθεις καὶ οἰκιῶν πλῆθος εὖ κατεσκευασμένων.
κατοικοῦσι δ' αὐτὴν βάρβαροι παντοδαποί, πλεῖστοι δὲ Φοί-

---

1. *τᾶς δάμασσε* S^a^ *τὰς μὲν ἐδάμασσε, τᾶς δ' ἐδάμασσε* alii. *τᾶς ἐ δάμασσε* Bekker corr. Herm. 2. *τέκνῳ* codd. corr. Jacobs. ‖ *τῶδ' ἐρυθοντε δάμαρ* S^a^ *τῷ δ' Ἐρύθοντι δάμαρ, τῷ δ' Ἐρύθοντι δάμαρτι* alii. *Εὔρυθον υἷα δάμαρ* Welcker. 3. *νυμφηγενὴς* S^a^ ‖ *Ἐρύθη δὴ* S^a^ *Ἐρύθη· τῇ* Welcker et Hermann. *τῇ* ad Venerem provocandum esse censet Preger. 4. *φιλότας* S^a^ *φιτὰ* S^a^ cum nonnullis, *φητὰ, φυγὰ* alii. corr. edd. vett. ‖ *σκιερὰ* S^a^ 10. *ἀργύριον* codd. em. Wil. 11. *ναυτικῶν* S^a^ ‖ *δύνασθαι* delendum. 12. *μήτε* codd. em. Wil. ‖ *τὸ ἀργύριον* S^a^

νικες· ὁ δ' ἀποικισμὸς αὐτῆς γέγονεν ὕστερον ἔτεσιν ἑκατὸν ἑξήκοντα τῆς κατὰ τὴν Καρχηδόνα κτίσεως.

Τίμαιος τοὺς ἐμβάλλοντας ποταμοὺς εἰς τὴν Ἀτλαντικὴν διὰ τῆς Κελτικῆς ὀρεινῆς αἰτιᾶται προωθοῦντας μὲν ταῖς [PLVT.] DE PLAC. PHIL. III 17, 6
5 *ἐφόδοις [καὶ πλήμμυραν ποιοῦντας] ὑφέλκοντας δὲ ταῖς ἀναπαύλαις [καὶ ἀμπώτιδας κατασκευάζοντας].*

Ἄλλαι δ' ὑπάρχουσι νῆσοι κατ' ἀντικρὺ τῆς Ἰβηρίας, ὑπὸ μὲν τῶν Ἑλλήνων ὀνομαζόμεναι Γυμνησίαι διὰ τὸ τοὺς ἐνοικοῦντας γυμνοὺς τῆς ἐσθῆτος βιοῦν κατὰ τὴν τοῦ θέρους * DIOD. V 17
10 *ὥραν . . . ‖ Τίμαιος δέ φησιν εἰς ταύτας τὰς νήσους ἐλθεῖν τινας τῶν Βοιωτῶν . . . Φιλτέας δὲ ἐν τρίτῳ Ναξιακῶν Βαλεαρίδας φησὶν αὐτὰς ὕστερον ὀνομασθῆναι ‖* * ΣΧ. ΛΥΚ. 633
ἀπὸ τοῦ βάλλειν ταῖς σφενδόναις λίθους μεγάλους κάλλιστα τῶν ἁπάντων ἀνθρώπων. τούτων δ' ἡ μείζων με- DIOD. l. l.
15 *γίστη πασῶν ἐστι μετὰ τὰς ἑπτὰ νήσους, Σικελίαν, Σαρδώ, Κύπρον, Κρήτην, Εὔβοιαν, Κύρνον, Λέσβον, ἀπέχει δὲ τῆς Ἰβηρίας πλοῦν ἡμερήσιον· ἡ δ' ἐλάττων κέκλιται μὲν πρὸς τὴν ἕω, τρέφει δὲ κτήνη πολλὰ καὶ παντοδαπά, μάλιστα δ' ἡμιόνους, μεγάλους μὲν τοῖς ἀναστήμασιν, ὑπερά-*
20 *γοντας δὲ ταῖς ῥώμαις. ἀμφότεραι δ' αἱ νῆσοι χώραν ἔχουσιν ἀγαθὴν καρποφόρον καὶ πλῆθος τῶν κατοικούντων ὑπὲρ τοὺς τρισμυρίους, τῶν δὲ πρὸς τὴν τροφὴν γεννημάτων οἶνον μὲν ὁλοσχερῶς οὐ φέρουσι· διὸ καὶ πάντες εἰσὶν ὑπερβολῇ πρὸς τὸν οἶνον εὐκατάφοροι, διὰ τὸ σπανίζειν παρ' αὐτοῖς· ἐλαίου*
25 *δὲ παντελῶς σπανίζοντες κατασκευάζουσιν ἐκ τῆς σχίνου καὶ μιγνύντες ὑείῳ στέατι τὰ σώματα αὐτῶν ἀλείφουσι τούτῳ. ‖ λέγουσι δὲ οὕτω τοὺς οἰκοῦντας αὐτὰς Ἴβηρας καταγύνους εἶναι, ὥστε ‖ ὅταν τινὲς γυναῖκες ὑπὸ τῶν προσπλεόντων ληστῶν ἁλῶσιν, ἀντὶ μιᾶς γυναικὸς τρεῖς ἢ τέτταρας ἄνδρας* ΘΑΥΜ. 'ΑΚ. 88
30 *διδόντες λυτροῦνται. οἰκοῦσι δ' ὑπὸ ταῖς κοιλάσι πέτραις*

---

1. *γέγονεν αὐτῆς* D. 5. *καὶ — ποιοῦντας* et 6. *καὶ — κατασκευάζοντας* uncis inclusit Diels: *Doxogr. gr.* 383. Doxographos Timaei sive Pytheae sententiam non intellexisse docet Muellenhoff[2] D. A. I 366 n. 8. *Γυμνήσιαι* codd. 21. *τοὺς* om. D. 25. *ἐκ δὲ τῆς τερμίνθου ΘΑΥΜ. 'ΑΚ.* 88. 29. *τρεῖς ἢ τέτταρας*] *τέτταρα καὶ πέντε σώματα ΘΑΥΜ. 'ΑΚ.* 88.

*καὶ παρὰ τοὺς κρημνοὺς ὀρύγματα κατασκευάζοντες καὶ κα-
θόλου πολλοὺς τόπους ὑπονόμους ποιοῦντες ἐν τούτοις βιοῦσιν,
ἅμα τὴν ἐξ αὐτῶν σκέπην καὶ ἀσφάλειαν θηρώμενοι. ἀργυρῷ
δὲ καὶ χρυσῷ νομίσματι τὸ παράπαν οὐ χρῶνται καὶ καθόλου
ταῦτα εἰσάγειν εἰς τὴν νῆσον κωλύουσιν· αἰτίαν δὲ ταύτην* 5
*ἐπιφέρουσιν, ὅτι τὸ παλαιὸν Ἡρακλῆς ἐστράτευσεν ἐπὶ Γηρυό-
νην, ὄντα Χρυσάορος μὲν υἱόν, πλεῖστον δὲ κεκτημένον ἄργυ-
ρόν τε καὶ χρυσόν. ἵν' οὖν ἀνεπιβούλευτον ἔχωσι τὴν κτῆσιν,
ἀνεπίμικτον ἑαυτοῖς ἐποίησαν τὸν ἐξ ἀργύρου τε καὶ χρυσοῦ
πλοῦτον. διόπερ ἀκολούθως ταύτῃ τῇ κρίσει κατὰ τὰς γεγε-* 10
*νημένας πάλαι ποτὲ στρατείας παρὰ Καρχηδονίοις τοὺς μισθοὺς
οὐκ ἀπεκόμιζον εἰς τὰς πατρίδας, ἀλλ' ὠνούμενοι γυναῖκας*
V 18 *καὶ οἶνον ἅπαντα τὸν μισθὸν εἰς ταῦτα κατεχορήγουν. παρά-
δοξον δέ τι καὶ κατὰ τοὺς γάμους νόμιμον παρ' αὐτοῖς ἐστιν·
ἐν γὰρ ταῖς κατὰ τοὺς γάμους εὐωχίαις οἰκείων τε καὶ φίλων* 15
*κατὰ τὴν ἡλικίαν ὁ πρῶτος ἀεὶ καὶ ὁ δεύτερος καὶ οἱ λοιποὶ
κατὰ τὸ ἑξῆς μίσγονται ταῖς νύμφαις ἀνὰ μέρος, ἐσχάτου τοῦ
νυμφίου τυγχάνοντος ταύτης τῆς τιμῆς. ἴδιον δέ τι ποιοῦσι
καὶ παντελῶς ἐξηλλαγμένον περὶ τὰς τῶν τετελευτηκότων
ταφάς· συγκόψαντες γὰρ ξύλοις τὰ μέλη τοῦ σώματος εἰς* 20
ΛΥΚ. 634 *ἀγγεῖον ἐμβάλλουσι καὶ λίθους δαψιλεῖς ἐπιτιθέασιν.* || Vestis
eis sisurna est || *ὁπλισμὸς δ' ἐστὶν αὐταῖς τρεῖς σφενδόναι,
καὶ τούτων μίαν μὲν περὶ τὴν κεφαλὴν ἔχουσιν, ἄλλην δὲ
περὶ τὴν γαστέρα, τρίτην δ' ἐν ταῖς χερσί. κατὰ δὲ τὰς πολε-
μικὰς χρείας βάλλουσι λίθους πολὺ μείζους τῶν ἄλλων οὕτως* 25
*εὐτόνως, ὥστε δοκεῖν τὸ βληθὲν ἀπό τινος καταπέλτου φέρε-
σθαι· διὸ καὶ κατὰ τὰς τειχομαχίας ἐν ταῖς προσβολαῖς
τύπτοντες τοὺς ἐπὶ τῶν ἐπάλξεων ἐφεστῶτας κατατραυμα-
τίζουσιν, ἐν δὲ ταῖς παρατάξεσι τούς τε θυρεοὺς καὶ τὰ κράνη
καὶ πᾶν σκεπαστήριον ὅπλον συντρίβουσι. κατὰ δὲ τὴν εὐστο-* 30
*χίαν οὕτως ἀκριβεῖς εἰσιν, ὥστε κατὰ τὸ πλεῖστον μὴ ἁμαρτάνειν
τοῦ προκειμένου σκοποῦ. αἴτιαι δὲ τούτων αἱ συνεχεῖς ἐκ
παίδων μελέται, καθ' ἃς ὑπὸ τῶν μητέρων ἀναγκάζονται*

---

9. *τε* om. D. 10. *διὰ* codd. *κατὰ* Dind. 13. *κατεχώριζον* codd. *κατεχορήγουν* Madvig. 19—20. *τῆς — ταφῆς* codd. em. Dind. 31. *εἶναι* D.

παῖδες ὄντες συνεχῶς σφενδονᾶν· προκειμένου γὰρ σκοποῦ κατά τι ξύλον ἠρτημένου ἄρτου, οὐ πρότερον δίδοται τῷ μελετῶντι φαγεῖν, ἕως ἂν τυχὼν τοῦ ἄρτου συγχωρούμενον λάβῃ παρὰ τῆς μητρὸς καταφαγεῖν τοῦτον.

5 Λέγουσι τοὺς Φοίνικας τοὺς κατοικοῦντας τὰ Γάδειρα καλούμενα, ἔξω πλέοντας Ἡρακλείων στηλῶν ἀπηλιώτῃ ἀνέμῳ ἡμέρας τέτταρας, παραγίνεσθαι εἴς τινας τόπους ἐρήμους, θρύου καὶ φύκους πλήρεις, οὓς ὅταν μὲν ἄμπωτις ᾖ μὴ βαπτίζεσθαι, ὅταν δὲ πλήμμυρα, κατακλύζεσθαι, ἐφ' ὧν 10 εὑρίσκεσθαι ὑπερβάλλον θύννων πλῆθος, καὶ τοῖς μεγέθεσιν ἄπιστον καὶ τοῖς πάχεσιν, ὅταν ἐποκείλωσιν· οὓς ταριχεύοντες καὶ συντιθέντες εἰς ἀγγεῖα διακομίζουσιν εἰς Καρχηδόνα. ὧν Καρχηδόνιοι μόνων οὐ ποιοῦνται τὴν ἐξαγωγήν, ἀλλὰ διὰ τὴν ἀρετήν, ἣν ἔχουσι κατὰ τὴν βρῶσιν, αὐτοὶ καταναλίσκουσιν.

ΘΑΥΜ. ἈΚ. 136

15 Κατὰ γὰρ τὴν Λιβύην || ἔξω Ἡρακλείων στηλῶν || κεῖται [μὲν] πελαγία νῆσος ἀξιόλογος μὲν τῷ μεγέθει, κειμένη δὲ κατὰ τὸν ὠκεανὸν ἀπέχει πλοῦν ἀπὸ τῆς Λιβύης ἡμερῶν πλειόνων, κεκλιμένη πρὸς τὴν δύσιν. ἔχει δὲ χώραν καρποφόρον, πολλὴν μὲν ὀρεινήν, οὐκ ὀλίγην δὲ πεδιάδα κάλλει 20 διαφέρουσαν. διαρρεομένη γὰρ ποταμοῖς πλωτοῖς ἐκ τούτων ἀρδεύεται, καὶ πολλοὺς μὲν ἔχει παραδείσους καταφύτους παντοίοις δένδρεσι, παμπληθεῖς δὲ κηπείας διειλημμένας ὕδασι γλυκέσιν· ἐπαύλεις τε πολυτελεῖς ταῖς κατασκευαῖς ὑπάρχουσιν ἐν αὐτῇ καὶ κατὰ τὰς κηπείας κατεσκευασμένα 25 κωθωνιστήρια τὴν διάθεσιν ἀνθηρὰν ἔχοντα, ἐν οἷς οἱ κατοικοῦντες κατὰ τὴν θερινὴν ὥραν ἐνδιατρίβουσι, δαψιλῶς τῆς χώρας χορηγούσης τὰ πρὸς τὴν ἀπόλαυσιν καὶ τρυφήν. ἥ τε ὀρεινὴ δρυμοὺς ἔχει πυκνοὺς καὶ μεγάλους καὶ δένδρα παντοδαπὰ καρποφόρα καὶ πρὸς τὰς ἐν τοῖς ὄρεσι διαίτας ἔχοντα 30 συναγκείας καὶ πηγὰς πολλάς. καθόλου δ' ἡ νῆσος αὕτη κατάρρυτός ἐστι ναματιαίοις καὶ γλυκέσιν ὕδασι, δι' ὧν οὐ μόνον ἀπόλαυσις ἐπιτερπὴς γίνεται τοῖς ἐμβιοῦσιν ἐν αὐτῇ, ἀλλὰ καὶ πρὸς ὑγίειαν σωμάτων καὶ ῥώμην συμβάλλεται.

DIOD. V 19
ΘΑΥΜ. ἈΚ. 84

1—4. Verba ordine turbata scatent hiatibus: Wil. 1. συνεχῶς om. D. || γὰρ] δὲ vulg. 13. μόνον οὐ μόνον S[a] 16. μὲν del. Bekker. 17. ἀπέχει D ἀπέχει δὲ cett. 29. ἔχοντα del. Madv.

κυνήγιά τε δαψιλῆ παντοίων ζῴων καὶ θηρίων ὑπάρχει, καὶ τούτων ἐν ταῖς εὐωχίαις εὐποροῦντες οὐδὲν ἐλλιπὲς ἔχουσι τῶν πρὸς τρυφὴν καὶ πολυτέλειαν ἀνηκόντων· καὶ γὰρ ἰχθύων ἔχει πλῆθος ἡ προσκλύζουσα τῇ νήσῳ θάλαττα διὰ τὸ φύσει τὸν ὠκεανὸν πανταχῇ πλήθειν παντοδαπῶν ἰχθύων. καθόλου 5 δ' ἡ νῆσος αὕτη τὸν περικείμενον ἀέρα παντελῶς εὔκρατον ἔχουσα τὸ πλέον μέρος τοῦ ἐνιαυτοῦ φέρει πλῆθος ἀκροδρύων καὶ τῶν ἄλλων τῶν ὡραίων, ὥστε δοκεῖν αὐτὴν ὡσεὶ θεῶν τινων, οὐκ ἀνθρώπων ὑπάρχειν ἐμβιωτήριον διὰ τὴν ὑπερ-

• V 20 βολὴν τῆς εὐδαιμονίας. κατὰ μὲν οὖν τοὺς παλαιοὺς χρόνους 10 ἀνεύρετος ἦν διὰ τὸν ἀπὸ τῆς ὅλης οἰκουμένης ἐκτοπισμόν, ὕστερον δ' εὑρέθη διὰ τοιαύτας αἰτίας. Φοίνικες ἐκ παλαιῶν χρόνων συνεχῶς πλέοντες κατ' ἐμπορίαν πολλὰς μὲν κατὰ τὴν Λιβύην ἀποικίας ἐποιήσαντο, οὐκ ὀλίγας δὲ καὶ τῆς Εὐρώπης ἐν τοῖς πρὸς δύσιν κεκλιμένοις μέρεσι. τῶν δ' ἐπι- 15 βολῶν αὐτοῖς κατὰ νοῦν προχωρουσῶν, πλούτους μεγάλους ἤθροισαν, καὶ τὴν ἐκτὸς Ἡρακλείων στηλῶν ἐπεβάλοντο πλεῖν, ἣν ὠκεανὸν ὀνομάζουσι. καὶ πρῶτον μὲν ἐπ' αὐτοῦ τοῦ κατὰ τὰς στήλας πόρου πόλιν ἔκτισαν ἐπὶ τῆς Εὐρώπης, ἣν οὖσαν χερρόνησον προσηγόρευσαν Γάδειρα, ἐν ᾗ τά τε ἄλλα κατεσκεύα- 20 σαν οἰκείως τοῖς τρόποις καὶ ναὸν Ἡρακλέους πολυτελῆ, καὶ θυσίας κατέδειξαν μεγαλοπρεπεῖς τοῖς τῶν Φοινίκων ἔθεσι διοικουμένας. τὸ δ' ἱερὸν συνέβη τοῦτο καὶ τότε καὶ κατὰ τοὺς νεωτέρους χρόνους τιμᾶσθαι περιττότερον μέχρι τῆς καθ' ἡμᾶς ἡλικίας ..... οἱ δ' οὖν Φοίνικες διὰ τὰς προειρημένας 25 αἰτίας ἐρευνῶντες τὴν ἐκτὸς τῶν στηλῶν παραλίαν καὶ παρὰ τὴν Λιβύην πλέοντες, ὑπ' ἀνέμων μεγάλων ἀπηνέχθησαν ἐπὶ πολὺν πλοῦν δι' ὠκεανοῦ. χειμασθέντες δ' ἐπὶ πολλὰς ἡμέρας προσηνέχθησαν τῇ προειρημένῃ νήσῳ καὶ τὴν εὐδαιμονίαν αὐτῆς καὶ φύσιν κατοπτεύσαντες ἅπασι γνώριμον ἐποίησαν. διὸ καὶ 30 Τυρρηνῶν θαλαττοκρατούντων καὶ πέμπειν εἰς αὐτὴν ἀποι-

ΘΑΥΜ. ἈΚ. 84 κίαν ἐπιβαλλομένων, διεκώλυσαν αὐτοὺς Καρχηδόνιοι· ‖ ἐν ᾗ ἐπιμισγομένων τῶν Καρχηδονίων πολλάκις διὰ τὴν εὐδαιμονίαν, ἐνίων γε μὴν καὶ οἰκούντων, τοὺς προεστῶτας τῶν Καρχη-

---

21. τόποις codd. corr. Wesseling. 32. ἐπιβαλομένων vulg.

δονίων ἀνείπασθαι θανάτῳ ζημιοῦν τοὺς εἰς αὐτὴν πλευσομένους, καὶ τοὺς ἐνοικοῦντας πάντας ἀφανίσαι, ἵνα μὴ διαγγέλλωσι ‖ ἅμα μὲν εὐλαβούμενοι μὴ διὰ τὴν ἀρετὴν τῆς νήσου πολλοὶ τῶν ἐκ τῆς Καρχηδόνος εἰς ἐκείνην μεταστῶσιν, (DIOD. l. l.)
5 ἅμα δὲ πρὸς τὸ παράλογα τῆς τύχης κατασκευαζόμενοι καταφυγήν, εἴ τι περὶ τὴν Καρχηδόνα ὁλοσχερὲς πταῖσμα συμβαίνοι· δυνήσεσθαι γὰρ αὐτοὺς θαλαττοκρατοῦντας ἀπᾶραι πανοικίους εἰς ἀγνοουμένην ὑπὸ τῶν ὑπερεχόντων νῆσον.

10

BRITANNIA.

15

Κατὰ γὰρ τὴν Γαλατίαν τὴν παρωκεανῖτιν κατ' ἀντικρὺ τῶν Ἑρκυνίων ὀνομαζομένων δρυμῶν, μεγίστους γὰρ ὑπάρχειν παρειλήφαμεν τῶν κατὰ τὴν Εὐρώπην, νῆσοι πολλαὶ κατὰ τὸν (*DIOD. V 21, 1)
20 ὠκεανὸν ὑπάρχουσιν, ὧν ἐστι μεγίστη ἡ Πρεττανικὴ καλουμένη . . . . αὕτη γὰρ τῷ σχήματι τρίγωνος οὖσα παραπλησίως (*21, 3) τῇ Σικελίᾳ τὰς πλευρὰς οὐκ ἰσοκώλους ἔχει. παρεκτεινούσης δ' αὐτῆς παρὰ τὴν Εὐρώπην λοξῆς, τὸ μὲν ἐλάχιστον ἀπὸ τῆς ἠπείρου διεστηκὸς ἀκρωτήριον, ὃ καλοῦσι Κάντιον, φασὶν
25 ἀπέχειν ἀπὸ τῆς γῆς σταδίους ὡς ἑκατόν, καθ' ὃν τόπον ἡ θάλαττα ποιεῖται τὸν ἔκρουν, τὸ δ' ἕτερον ἀκρωτήριον τὸ καλούμενον Βελέριον ἀπέχειν λέγεται τῆς ἠπείρου πλοῦν ἡμερῶν τεττάρων, τὸ δ' ὑπολειπόμενον ἀνήκειν μὲν ἱστοροῦσιν εἰς τὸ πέλαγος, ὀνομάζεσθαι δ' Ὄρκαν. τῶν δὲ πλευρῶν τὴν
30 μὲν ἐλαχίστην εἶναι σταδίων ἑπτακισχιλίων πεντακοσίων,

1, ἀνείπασθαι] ἀπείπασθαι codd. ἀνειπεῖν vel ἀπειλήσασθαι suadet E. Rohde: Griech. Rom. 216. 3. διαρετὴν D. 5. παράβολα codd. em. Vogel coll. XVII 66, 2. 108, 6. 6. ὁλοσχερὲς om. D. 7. αὑτοὺς Dind. 8. περιεχόντων D. 18. ὀρῶν μέγιστα γὰρ plurimi praeter D ut videtur, quem Vogel fortasse secutus est, cum μεγίστους γὰρ ὑπάρχ. παρειλ. scriberet. 20. ἡ μεγίστη codd. 21. ἰσογώνους D. 24. Καντίον D. 25. ἀπέχειν om. D. 29. Ὀρσίκαν D.

παρήκουσαν παρὰ τὴν Εὐρώπην, τὴν δὲ δευτέραν τὴν ἀπὸ τοῦ πορθμοῦ πρὸς τὴν κορυφὴν ἀνήκουσαν σταδίων μυρίων πεντακισχιλίων, τὴν δὲ λοιπὴν σταδίων δισμυρίων, ὥστε τὴν πᾶσαν εἶναι τῆς νήσου περιφορὰν σταδίων τετρακισμυρίων δισχιλίων πεντακοσίων. κατοικεῖν δέ φασι τὴν Πρεττανικὴν αὐτόχθονα γένη καὶ τὸν παλαιὸν βίον ταῖς ἀγωγαῖς διατηροῦντα. ἅρμασι μὲν γὰρ κατὰ τοὺς πολέμους χρῶνται, καθάπερ οἱ παλαιοὶ τῶν Ἑλλήνων ἥρωες ἐν τῷ Τρωικῷ πολέμῳ κεχρῆσθαι παραδέδονται, καὶ τὰς οἰκήσεις εὐτελεῖς ἔχουσιν, ἐκ τῶν καλάμων ἢ ξύλων κατὰ τὸ πλεῖστον συγκειμένας· τήν τε συναγωγὴν τῶν σιτικῶν καρπῶν ποιοῦνται τοὺς στάχυς αὐτοὺς ἀποτέμνοντες καὶ θησαυρίζοντες εἰς τὰς καταστέγους οἰκήσεις· ἐκ δὲ τούτων τοὺς παλαιοὺς στάχυς καθ' ἡμέραν τίλλειν, καὶ κατεργαζομένους ἔχειν τὴν τροφήν. τοῖς δ' ἤθεσιν ἁπλοῦς εἶναι καὶ πολὺ κεχωρισμένους τῆς τῶν νῦν ἀνθρώπων ἀγχινοίας καὶ πονηρίας. τάς τε διαίτας εὐτελεῖς ἔχειν καὶ τῆς ἐκ τοῦ πλούτου γεννωμένης τρυφῆς πολὺ διαλλάττοντας· εἶναι δὲ καὶ πολυάνθρωπον τὴν νῆσον καὶ τὴν τοῦ ἀέρος ἔχειν διάθεσιν παντελῶς κατεψυγμένην, ὡς ἂν ὑπ' αὐτὴν τὴν ἄρκτον κειμένην. βασιλεῖς δὲ καὶ δυνάστας πολλοὺς ἔχειν, καὶ πρὸς ἀλλήλους κατὰ τὸ πλεῖστον εἰρηνικῶς διακεῖσθαι. . . . . νῦν δὲ περὶ τοῦ κατ' αὐτὴν φυομένου καττιτέρου διέξιμεν. τῆς γὰρ
V 22, 5 *Πρεττανικῆς κατὰ τὸ ἀκρωτήριον τὸ καλούμενον Βελέριον οἱ κατοικοῦντες φιλόξενοί τε διαφερόντως εἰσὶ καὶ διὰ τὴν τῶν ξένων ἐμπόρων ἐπιμιξίαν ἐξημερωμένοι τὰς ἀγωγάς. οὗτοι τὸν καττίτερον κατασκευάζουσι φιλοτέχνως ἐργαζόμενοι τὴν φέρουσαν αὐτὸν γῆν. αὕτη δὲ πετρώδης οὖσα διαφυὰς ἔχει γεώδεις, ἐν αἷς τὸν πόρον κατεργαζόμενοι καὶ τήξαντες καθαίρουσιν. ἀποτυποῦντες δ' εἰς ἀστραγάλων ῥυθμοὺς κομίζουσιν εἴς τινα νῆσον προκειμένην μὲν τῆς Πρεττανικῆς, ὀνομαζομένην*
PLIN. IV 104 *δὲ Ἴκτιν.* || *ad eam Britannos vitilibus navigiis corio circumsutis navigare.* || *κατὰ γὰρ τὰς ἀμπώτεις ἀναξηραινομένου τοῦ μεταξὺ τόπου ταῖς ἁμάξαις εἰς ταύτην κομίζουσι δαψιλῆ τὸν καττίτερον. ἴδιον δέ τι συμβαίνει περὶ τὰς πλησίον νήσους*

10. *τὴν*] *καὶ τήν* D. 14. *ἔθεσιν* D. 15. *πολὺ* om. D. 20. *τε* codd. em. Dind. 22. *κασσιτέρου* codd. 25. *οὗτοι*] *αὐτοὶ* D. 28. *πῶρον* D *τὴν βῶλον* Hertlein.

τὰς μεταξὺ κειμένας τῆς τε Εὐρώπης καὶ τῆς Πρεττανικῆς· κατὰ μὲν γὰρ τὰς πλημμυρίδας τοῦ μεταξὺ πόρου πληρουμένου νῆσοι φαίνονται, κατὰ δὲ τὰς ἀμπώτεις ἀπορρεούσης τῆς θαλάττης καὶ πολὺν τόπον ἀναξηραινούσης θεωροῦνται
5 χερρόνησοι. ἐντεῦθεν δ' οἱ ἔμποροι παρὰ τῶν ἐγχωρίων ὠνοῦνται καὶ διακομίζουσιν εἰς τὴν Γαλατίαν· τὸ δὲ τελευταῖον πεζῇ διὰ τῆς Γαλατίας πορευθέντες ἡμέρας ὡς τριάκοντα κατάγουσιν ἐπὶ τῶν ἵππων τὰ φορτία πρὸς τὴν ἐκβολὴν τοῦ Ῥοδανοῦ ποταμοῦ.

10 ... *Pytheas Teutonibus* ... || *ante Scythiam, quae appellatur Baunonia* || *adcoli aestuarium Oceani, Metonomon nomine, spatio stadiorum sex milium. ab hoc diei navigatione abesse insulam Abalum* ⟨vel *Basiliam*⟩, *illo per ver fluctibus advehi* (scil. succinum) *et esse concreti maris purgamentum, in-*
15 *colas pro ligno ad ignem uti eo proxumisque Teutonis vendere.* || περὶ δὲ τούτου πολλοὶ τῶν παλαιῶν ἀνέγραψαν μύθους παντελῶς ἀπιστουμένους καὶ διὰ τῶν ἀποτελεσμάτων ἐλεγχομένους. πολλοὶ γὰρ τῶν τε ποιητῶν καὶ τῶν συγγραφέων φασὶ Φαέθοντα τὸν Ἡλίου μὲν υἱόν, παῖδα δὲ τὴν ἡλικίαν
20 ὄντα, πεῖσαι τὸν πατέρα μίαν ἡμέραν παραχωρῆσαι τοῦ τεθρίππου· συγχωρηθέντος δ' αὐτῷ τούτου, τὸν μὲν Φαέθοντα ἐλαύνοντα τὸ τέθριππον μὴ δύνασθαι κρατεῖν τῶν ἡνιῶν, τοὺς δ' ἵππους καταφρονήσαντας τοῦ παιδὸς ἐξενεχθῆναι τοῦ συνήθους δρόμου, καὶ τὸ μὲν πρῶτον κατὰ τὸν οὐρανὸν
25 πλανωμένους ἐκπυρῶσαι τοῦτον καὶ ποιῆσαι τὸν νῦν γαλαξίαν καλούμενον κύκλον, μετὰ δὲ ταῦτα πολλὴν τῆς οἰκουμένης ἐπιφλέξαντας οὐκ ὀλίγην κατακάειν χώραν. διὸ καὶ τοῦ Διὸς ἀγανακτήσαντος ἐπὶ τοῖς γεγενημένοις, κεραυνῶσαι μὲν τὸν Φαέθοντα, ἀποκαταστῆσαι δὲ τὸν ἥλιον ἐπὶ τὴν συνήθη
30 πορείαν. τοῦ δὲ Φαέθοντος πεσόντος πρὸς τὰς ἐκβολὰς τοῦ (νῦν καλουμένου Πάδου ποταμοῦ τὸ δὲ παλαιὸν) Ἠριδανοῦ προσαγορευομένου, θρηνῆσαι μὲν τὰς ἀδελφὰς αὐτοῦ τὴν

* PLIN. XXXVII 35 IV 94

cf. PLIN IV 95

DIOD. V 23, 1

---

1. καὶ τῆς] καὶ D. 10. *Gutonibus* codd. em. Müllenhoff[2] D. A. I 479 defendit H. Kothe: *annal. Fleckeis.* 141 p. 184—186. 11. *Oceani — spatio*] lectio codicum valde turbata, recepi Silligii verba, nisi quod *Metonomon* scripsi. 22. ἡνίων D. 27. τὸν Δία ἀγανακτήσαντα dett. 31. νῦν — παλαιὸν uncis inclusi, neque enim novit Timaeus Padum.

τελευτὴν φιλοτιμότατα, διὰ δὲ τὴν ὑπερβολὴν τῆς λύπης [ὑπ τῆς φύσεως] μετασχηματισθῆναι τὴν φύσιν, γενομένας αἰγείρους. ταύτας δὲ κατ' ἐνιαυτὸν κατὰ τὴν αὐτὴν ὥραν δάκρυον ἀφιέναι, καὶ τοῦτο πηγνύμενον ἀποτελεῖν τὸ καλούμενον ἤλεκτρον, λαμπρότητι μὲν τῶν ὁμοφυῶν διαφέρον, ἐπιχωριάζον δ' ἐν 5 ταῖς τῶν νέων τελευταῖς κατὰ τὸ τούτων πένθος. διημαρτηκότων δὲ πάντων τῶν τὸν μῦθον τοῦτον πεπλακότων καὶ διὰ τῶν ἀποτελεσμάτων ἐν τοῖς ὕστερον χρόνοις ἐλεγχομένων, προσεκτέον ταῖς ἀληθιναῖς ἱστορίαις· τὸ γὰρ ἤλεκτρον συνάγεται μὲν ἐν τῇ προειρημένῃ νήσῳ, κομίζεται δ' ὑπὸ τῶν ἐγχω- 10 ρίων πρὸς τὴν ἀντιπέρας ἤπειρον, δι' ἧς φέρεται πρὸς τοὺς καθ' ἡμᾶς τόπους, καθότι προείρηται.

15

LIBYA.

POL. XII 3, 1 Τὴν μὲν τῆς χώρας ἀρετὴν πᾶς ἄν τις θαυμάσειεν, τὸν 20 δὲ Τίμαιον εἴποι τις ἂν οὐ μόνον ἀνιστόρητον γεγονέναι περὶ τῶν κατὰ τὴν Λιβύην ἀλλὰ καὶ παιδαριώδη καὶ τελέως ἀσυλλόγιστον καὶ ταῖς ἀρχαίαις φήμαις ἀκμὴν ἐνδεδεμένον, ἃς παρειλήφαμεν, ὡς ἀμμώδους πάσης καὶ ξηρᾶς καὶ ἀκάρπου ὑπαρχούσης τῆς Λιβύης. ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῶν ζῴων. 25 τό τε γὰρ τῶν ἵππων καὶ τῶν βοῶν καὶ προβάτων, ἅμα δὲ τούτοις αἰγῶν πλῆθος τοσοῦτόν ἐστι κατὰ τὴν χώραν ὅσον οὐκ οἶδ' εἰ δύναιτ' ἂν εὑρεθῆναι κατὰ τὴν λοιπὴν οἰκουμένην, διὰ τὸ πολλὰ τῶν κατὰ Λιβύην ἐθνῶν τοῖς μὲν ἡμέροις μὴ χρῆσθαι καρποῖς, ἀπὸ δὲ τῶν θρεμμάτων καὶ σὺν τοῖς θρέμ- 30 μασιν ἔχειν τὸν βίον. καὶ μὴν τὸ τῶν ἐλεφάντων καὶ λεόντων καὶ παρδάλεων πλῆθος καὶ τὴν ἀλκήν, ἔτι δὲ βουβάλων κάλλος καὶ στρουθῶν μεγέθη, τίς οὐχ ἱστόρησεν; ὧν κατὰ μὲν τὴν Εὐρώπην τὸ παράπαν οὐδέν ἐστιν, ἡ δὲ Λιβύη πλήρης ἐστὶ

---

1. ὑπὸ τῆς φύσεως del. Dind. 24—25. τῆς Λιβύης ὑπαρχούσης Benseler. 25. ζῴων Urb.

τῶν προειρημένων· περὶ ὧν οὐδὲν ἱστορήσας Τίμαιος ὥσπερ ἐπίτηδες τἀναντία τοῖς κατ' ἀλήθειαν ὑπάρχουσιν ἐξηγεῖται.

Τῆς δὲ Λιβύης ἐν τῇ καλουμένῃ Ἰτύκῃ, ἣ κεῖται μέν, ὡς λέγουσιν, ἐν τῷ κόλπῳ τῷ μεταξὺ Ἑρμαίας καὶ τῆς Ἵππου ἄκρας, ἐπέκεινα δὲ Καρχηδόνος ὡς σταδίους διακοσίους — ἣ καὶ πρότερον κτισθῆναι λέγεται ὑπὸ Φοινίκων αὐτῆς τῆς Καρχηδόνος ἔτεσι διακοσίοις ὀγδοήκοντα ἑπτά, ὡς ἀναγέγραπται ἐν ταῖς Φοινικικαῖς ἱστορίαις — γίνεσθαί φασιν ἅλας ὀρυκτούς, ἐπὶ τρεῖς ὀργυιὰς τὸ βάθος, τῇ ὄψει λευκοὺς καὶ οὐ στερεούς, ἀλλ' ὁμοίους τῷ γλισχροτάτῳ γλοιῷ· καὶ ὅταν ἀνενεχθῶσιν εἰς τὸν ἥλιον, ἀποστερεοῦσθαι καὶ γίνεσθαι ὁμοίους τῷ Παρίῳ λίθῳ. γλύφεσθαι δὲ ἐξ αὐτῶν λέγουσι ζῴδια καὶ ἄλλα σκεύη.

MIR. AUSC. 134

Δειδώ. Ταύτην φησὶ Τίμαιος κατὰ μὲν τὴν Φοινίκων γλῶσσαν Ἔλισσαν καλεῖσθαι, ἀδελφὴν δὲ εἶναι Πυγμαλίωνος τοῦ Τυρίων βασιλέως, ὑφ' ἧς φησι τὴν Καρχηδόνα τὴν ἐν Λιβύῃ κτισθῆναι. τοῦ γὰρ ἀνδρὸς αὐτῆς ὑπὸ τοῦ Πυγμαλίωνος ἀναιρεθέντος ἐνθεμένη τὰ χρήματα εἰς σκάφος, μετά τινων πολιτῶν ἔφευγε καὶ πολλὰ κακοπαθήσασα τῇ Λιβύῃ προσηνέχθη καὶ ὑπὸ τῶν Λιβύων διὰ τὴν πολλὴν αὐτῆς πλάνην Δειδὼ προσηγορεύθη ἐπιχωρίως. κτίσασα δὲ τὴν προειρημένην πόλιν, τοῦ τῶν Λιβύων βασιλέως θέλοντος αὐτὴν γῆμαι αὐτὴ μὲν ἀντέλεγεν, ὑπὸ δὲ τῶν πολιτῶν συναναγκαζομένη, σκηψαμένη τελετήν τινα πρὸς ἀνάλυσιν ὅρκων ἐπιτελέσειν, πυρὰν μεγίστην ἐγγὺς τοῦ οἴκου κατασκευάσασα καὶ ἅψασα, ἀπὸ τοῦ δώματος αὑτὴν εἰς τὴν πυρὰν ἔρριψεν.

ANON. TRACT. DE MUL. Westerm. Παραδοξογρ. 215, 11

(Dido soror Pygmalionis multo auri et argenti pondere congregato in Africam navigavit ibique urbem Carthaginem condidit et cum ab Hiarba rege Libyae in coniugium peteretur, paulisper distulit nuptias, donec conderet civitatem. Nec multo post extructa in memoriam mariti quondam Sychaei pyra maluit ardere quam nubere.)

HIERON. ADV. IOV. I 43 M

3 Ἰτύκῃ τῇ καλουμένῃ codd. corr. Sylb. 11 [illegible] cod. [illegible] nonnulli [illegible], quam vocem ad Didonem omnino non pertinere dixerim 18 σκάφος cod. 21 ἐπιχωρίως cod. corr. Heeren., qui tamen praefert ἐπιχώριος deleto supra ὑπὸ τῶν Λιβύων

* STEPH. BYZ. et EVSTATHII AD D. P. 195 SVPPLEMENTVM.

Καρχηδών, μητρόπολις Λιβύης . . . ἀπὸ Καρχηδόνος Φοίνικος. ἐκαλεῖτο δὲ Καινὴ πόλις καὶ Καδμεία καὶ Οἰνοῦσα καὶ Κακκάβη· τούτῳ δὲ κατὰ τὴν οἰκείαν αὐτῶν λέξιν ἵππου κεφαλὴ δηλοῦται· [οἱ δὲ καὶ τοῦτο περὶ Καρχηδόνος φασίν, ὡς ἄρα οἱ περὶ Ἐλίσσαν, ἤγουν οἱ μετὰ τῆς Διδοῦς, ὀρύσσοντες εἰς πόλεως κτίσιν καὶ βοὸς εὑρόντες κεφαλὴν ἀπέσχοντο τοῦ ὀρύσσειν οἷα ὀττευσάμενοι μόχθους καὶ δουλείαν συνεχῆ, ὃ καὶ οἱ βόες πάσχουσιν. ὀρύξαντες δὲ περί που φοίνικα πεφυτευμένον εὗρον κεφαλὴν ἵππου καὶ συμβαλόντες σημαίνεσθαι σχολὴν αὐτοῖς καὶ παρ' ἄλλων δόσιν τροφῆς καθὰ καὶ τοῖς ἵπποις, ἔκτισαν ἐν τῷ τοιούτῳ τόπῳ τὴν Καρχηδόνα καὶ ταῦτα πότιμον ὕδωρ μὴ ἔχοντι· καὶ τάχα διὰ τοῦτο καὶ Κακκάβη ἐκλήθη . . .]

CORSICA et SARDINIA.

* DIOD. V 13, 3

Μετὰ δὲ τὴν Αἰθάλειαν νῆσός ἐστιν ἀπέχουσα μὲν ταύτης ὡς τριακοσίους σταδίους, ὀνομάζεται δὲ ὑπὸ μὲν τῶν Ἑλλήνων Κύρνος . . . . .

DION. v. 459 STEPH. BYZ s. v.

ἥν ῥά τε Κορσίδα φῶτες ἐπιχθόνιοι καλέουσιν ἀπὸ Κόρσης δούλης βουκόλου.

ISID. OR. XIV 6 p. 519M.

Nam quaedam Corsa nomine Ligus mulier, cum taurum ex grege, quem prope litora regebat, transnatare solitum atque per intervalla corpore aucto remeare videret, cupiens scire incognita sibi pabula, taurum a caeteris digredientem usque ad insulam navigio prosecuta est. Cuius regressu insulae fertilitatem cognoscentes Ligures ratibus ibi profecti sunt eamque nomine mulieris auctoris et ducis appellaverunt.

DIOD. l. l.

αὕτη δ' ἡ νῆσος εὐπροσόρμιστος οὖσα κάλλιστον ἔχει λιμένα τὸν ὀνομαζόμενον Συρακόσιον. ὑπάρχουσι δ' ἐν αὐτῇ καὶ πόλεις ἀξιόλογοι δύο, καὶ τούτων ἡ μὲν Κάλαρις, ἡ δὲ

---

2. Οἴνουσα cod. Rehd. Οἴνουσσα Vossian. 5. Ἔλισσαν Eustath. 32. εὐπροσόρμητος D.

Νίκαια προσαγορεύεται. τούτων δὲ την μὲν Κάλαριν Φωκαεῖς ἔκτισαν, καὶ χρόνον τινὰ κατοικήσαντες ὑπὸ Τυρρηνῶν ἐξεβλήθησαν ἐκ τῆς νήσου. τὴν δὲ Νίκαιαν ἔκτισαν Τυρρηνοὶ θαλαττοκρατοῦντες καὶ τὰς κατὰ τὴν Τυρρηνίαν κειμένας
5 *νήσους ἰδιοποιούμενοι. ἐπὶ δέ τινας χρόνους τῶν ἐν τῇ Κύρνῳ πόλεων κυριεύοντες ἐλάμβανον παρὰ τῶν ἐγχωρίων φόρους ῥητίνην καὶ κηρὸν καὶ μέλι, φυομένων τούτων δαψιλῶν ἐν τῇ νήσῳ. τὰ δ' ἀνδράποδα τὰ Κύρνια διαφέρειν δοκεῖ τῶν ἄλλων δούλων εἰς τὰς κατὰ τὸν βίον χρείας, φυσι-*
10 *κῆς ταύτης τῆς ἰδιότητος παρακολουθούσης. ἡ δ' ὅλη νῆσος εὐμεγέθης οὖσα πολλὴν τῆς χώρας ὀρεινὴν ἔχει, πεπυκασμένην δρυμοῖς συνεχέσι καὶ ποταμοῖς διαρρεομένην μικροῖς. οἱ δ'* 14 *ἐγχώριοι τροφαῖς μὲν χρῶνται γάλακτι καὶ μέλιτι καὶ κρέασι, δαψιλῶς πάντα ταῦτα παρεχομένης τῆς χώρας, τὰ δὲ πρὸς*
15 *ἀλλήλους βιοῦσιν ἐπιεικῶς καὶ δικαίως παρὰ πάντας σχεδὸν τοὺς ἄλλους βαρβάρους· τά τε γὰρ κατὰ τὴν ὀρεινὴν ἐν τοῖς δένδρεσιν εὑρισκόμενα κηρία τῶν πρώτων εὑρισκόντων ἐστί, μηδενὸς ἀμφισβητοῦντος, τά τε πρόβατα σημείοις διειλημμένα, κἂν μηδεὶς φυλάττῃ, σώζεται τοῖς κεκτημένοις, ἔν τε ταῖς*
20 *ἄλλαις ταῖς ἐν τῷ βίῳ κατὰ μέρος οἰκονομίαις θαυμαστῶς προτιμῶσι τὸ δικαιοπραγεῖν. παραδοξότατον δ' ἐστὶ τῶν παρ' αὐτοῖς γινομένων τὸ κατὰ τὰς τῶν τέκνων γενέσεις· ὅταν γὰρ ἡ γυνὴ τέκῃ, ταύτης μὲν οὐδεμία γίνεται περὶ τὴν λοχείαν ἐπιμέλεια, ὁ δ' ἀνὴρ αὐτῆς ἀναπεσὼν ὡς νοσῶν λοχεύεται τακτὰς*
25 *ἡμέρας, ὡς τοῦ σώματος αὐτῷ κακοπαθοῦντος. — φύεται δὲ κατὰ τὴν νῆσον ταύτην καὶ πύξος πλείστη καὶ διάφορος, δι' ἣν καὶ τὸ μέλι τὸ γινόμενον ἐν ταύτῃ παντελῶς γίνεται πικρόν. κατοικοῦσι δ' αὐτὴν βάρβαροι, τὴν διάλεκτον ἔχοντες ἐξηλλαγμένην καὶ δυσκατανόητον· τὸν δ' ἀριθμὸν ὑπάρχουσιν ὑπὲρ*
30 *τοὺς τρισμυρίους.*

Καθάπερ δὲ καὶ περὶ τῶν κατὰ Λιβύην ἀπεσχεδίακεν POL. XII 3, 7 (sc. Timaeus), *οὕτως καὶ περὶ τῶν κατὰ τὴν νῆσον τὴν προσαγορευομένην Κύρνον. καὶ γὰρ ὑπὲρ ἐκείνης μνημονεύων*

---

1. *Φωκεῖς* D. 7. *δαψιλῶς* Rhodoman. 21. *τὸ παραυτοῖς τὸ* D. *παρ' αὐτοῖς τὸ* vulg. locum transform. Wil. 22. *ὅταν μὲν γὰρ* D. 33. *ὑπεκείνης* Urb. corr. apographa.

ἐν τῇ δευτέρᾳ βύβλῳ φησὶν αἶγας ἀγρίας καὶ πρόβατα καὶ βοῦς ἀγρίους ὑπάρχειν ἐν αὐτῇ πολλούς, ἔτι δ' ἐλάφους καὶ λαγὼς καὶ λύκους καί τινα τῶν ἄλλων ζῴων, καὶ τοὺς ἀνθρώπους περὶ ταῦτα διατρίβειν κυνηγετοῦντας καὶ τὴν ὅλην τοῦ βίου διαγωγὴν ἐν τούτοις ἔχειν. (κατὰ δὲ τὴν προειρημένην νῆσον οὐχ οἷον αἲξ ἄγριος ἢ βοῦς, ἀλλ' οὐδὲ λαγὼς οὐδὲ λύκος οὐδ' ἔλαφος οὐδ' ἄλλο τῶν τοιούτων ζῴων οὐδέν ἐστι, πλὴν ἀλωπέκων καὶ κυνίκλων καὶ προβάτων ἀγρίων. ὁ δὲ κύνικλος πόρρωθεν μὲν ὁρώμενος εἶναι δοκεῖ λαγὼς μικρός, ὅταν δ' εἰς τὰς χεῖρας λάβῃ τις, μεγάλην ἔχει διαφορὰν καὶ κατὰ τὴν ἐπιφάνειαν καὶ κατὰ τὴν βρῶσιν· γίνεται δὲ τὸ πλεῖον μέρος κατὰ γῆς. δοκεῖ γε μὴν πάντ' εἶναι τὰ ζῷα κατὰ τὴν νῆσον ἄγρια διὰ τοιαύτην αἰτίαν. οὐ δύνανται κατὰ τὰς νομὰς συνακολουθεῖν οἱ ποιμαίνοντες τοῖς θρέμμασι διὰ τὸ σύνδενδρον καὶ κρημνώδη καὶ τραχεῖαν εἶναι τὴν νῆσον· ἀλλ' ὅταν βούλωνται συναθροῖσαι, κατὰ τοὺς εὐκαίρους τόπους ἐφιστάμενοι τῇ σάλπιγγι συγκαλοῦσι τὰ ζῷα καὶ πάντα πρὸς τὴν ἰδίαν ἀδιαπτώτως συντρέχει σάλπιγγα. λοιπὸν ὅταν τινὲς προσπλεύσαντες πρὸς τὴν νῆσον αἶγας ἢ βοῦς θεάσωνται νεμομένας ἐρήμους, κἄπειτα βουληθῶσι καταλαβεῖν, οὐ προσίεται τὰ ζῷα διὰ τὴν ἀσυνήθειαν ἀλλὰ φεύγει. ὅταν δὲ καὶ συνιδὼν ὁ ποιμὴν τοὺς ἀποβαίνοντας σαλπίσῃ, προτροπάδην ἅμα φέρεται καὶ συντρέχει πρὸς τὴν σάλπιγγα. διὸ φαντασίαν ἀγρίων ποιεῖ· ὑπὲρ ὧν Τίμαιος κακῶς καὶ παρέργως ἱστορήσας ἐσχεδίασεν.)

SCHOL. DION. 458 • SOLIN. 50, 12 M. (SALLVST.) Σαρδώ· ἀπὸ Σαρδόνος, υἱοῦ Ἡρακλέους. ᾠκίσθη δὲ ὑπὸ τῶν Ἰβήρων· || . . . *Sardus Hercule, Norax Mercurio procreati cum alter a Libya, alter ab usque Tartesso Hispaniae in hosce fines permeavissent, a Sardo terrae, a Norace Norae oppido nomen datum* . . . || ΘΑΥΜ. ἈΚ. 100 αὕτη δὲ ἡ νῆσος, ὡς ἔοικεν, ἐκαλεῖτο μὲν πρότερον Ἰχνοῦσσα διὰ τὸ ἐσχηματίσθαι τῇ περιμέτρῳ ὁμοιότατα ἀνθρωπίνῳ ἴχνει, εὐδαίμων δὲ καὶ πάμφορος [ἔμπροσθεν]

3. ζώων Urb. 9. μὲν add. Athen. 400 f. om. Urb. || εἶναι δοκεῖ Athen. δοκεῖ εἶναι Urb. 12. μέρος om. Athen. 14. ποιμένοντες Urb. ποιμένες apogr. vulg. corr. Hultsch. 16. καὶ ante κατὰ Urb. 31. Ἴχνουσσα S? || ὁμοιότητι ἀνθρώπων S? 32. ἔμπροσθεν del. Wil. coll. p. 167, 3.

λέγεται εἶναι· τὸν γὰρ Ἀρισταῖον, ὅν φασι γεωργικώτατον
εἶναι ἐπὶ τῶν ἀρχαίων, τοῦτον αὐτῆς ἄρξαι μυθολογοῦσιν,
ὑπὸ μεγάλων ὀρνέων ἔμπροσθεν καὶ πολλῶν κατεχομένης. ||
Ἀρισταῖος γὰρ ἦν υἱὸς μὲν Ἀπόλλωνος καὶ Κυρήνης τῆς DIOD. IV 81, 1
5 *Ὑψέως θυγατρὸς τοῦ Πηνειοῦ· περὶ δὲ τῆς γενέσεως αὐτοῦ*
μυθολογοῦσί τινες οὕτως. Ἀπόλλω, περὶ τὸ Πήλιον τρεφο-
μένης κόρης ὄνομα Κυρήνης κάλλει διαφερούσης, ἐρασθῆναι
τῆς παρθένου, καὶ μετενεγκεῖν αὐτὴν τῆς Λιβύης εἰς ταύτην
τὴν χώραν, ἐν ᾗ κατὰ τοὺς ὕστερον χρόνους τινὰ κτίσαντα
10 *πόλιν ἀπ' ἐκείνης ὀνομάσαι Κυρήνην. τὸν δ' οὖν Ἀπόλλω*
κατὰ ταύτην τὴν χώραν ἐκ Κυρήνης γεννήσαντα υἱὸν Ἀρισταῖον
τοῦτον μὲν νήπιον ὄντα παραδοῦναι ταῖς Νύμφαις τρέφειν·
ταύτας δὲ τῷ παιδὶ τρεῖς ὀνομασίας προσάψαι· καλεῖν γὰρ
αὐτὸν Νόμιον, Ἀρισταῖον, Ἀγρέα. τοῦτον δὲ παρὰ τῶν
15 *Νυμφῶν μαθόντα τήν τε τοῦ γάλακτος πῆξιν καὶ τὴν κατα-*
σκευὴν τῶν σμηνῶν, ἔτι δὲ τῶν ἐλαιῶν τὴν κατεργασίαν, δι-
δάξαι πρῶτον τοὺς ἀνθρώπους. διὰ δὲ τὴν εὐχρηστίαν τὴν
ἐκ τούτων τῶν εὑρημάτων τοὺς εὐεργετηθέντας ἀνθρώπους
τιμῆσαι τὸν Ἀρισταῖον ἰσοθέοις τιμαῖς, καθὰ καὶ τὸν Διόνυ-
20 *σον. μετὰ δὲ ταῦτά φασιν αὐτὸν εἰς Βοιωτίαν καταντήσαντα*
γῆμαι τῶν Κάδμου θυγατέρων Αὐτονόην, ἐξ ἧς φασιν Ἀκ-
τέωνα γενέσθαι τὸν κατὰ τοὺς μύθους ὑπὸ τῶν ἰδίων κυνῶν
διασπασθέντα. τὴν δ' αἰτίαν ἀποδιδόασι τῆς ἀτυχίας οἱ μὲν
ὅτι κατὰ τὸ τῆς Ἀρτέμιδος ἱερὸν διὰ τῶν ανατιθεμένων
25 *ἀκροθινίων ἐκ τῶν κυνηγίων προῃρεῖτο τὸν γάμον κατεργάσα-*
σθαι τῆς Ἀρτέμιδος, οἱ δ' ὅτι τῆς Ἀρτέμιδος αὐτὸν πρω-
τεύειν ταῖς κυνηγίαις ἀπεφήνατο. οὐκ ἀπίθανον δ' ἐπ' ἀμ-
φοτέροις τούτοις μηνῖσαι τὴν θεόν· εἴτε γὰρ τοῖς ἁλισκομέ-
νοις πρὸς τὴν ἀκοινώνητον τοῖς γάμοις κατεχρῆτο πρὸς τὸ
30 *συντελέσαι τὴν ἰδίαν ἐπιθυμίαν, εἴτε καὶ ταύτης ἐτόλμησεν*
εἰπεῖν αἱρετώτερον αὐτὸν εἶναι κυνηγόν, ᾗ καὶ θεοὶ παρα-
κεχωρήκασι τῆς ἐν τούτοις ἁμίλλης, ὁμολογουμένην καὶ δικαίαν
ὀργὴν ἔσχε πρὸς αὐτὸν ἡ θεός. καθόλου δὲ πιθανῶς εἰς τὴν
τῶν ἁλισκομένων θηρίων μεταμορφωθεὶς ἰδέαν ὑπὸ τῶν καὶ

2—3. *αὐτῶν — κατεχομένων* codd. corr. Heyne. 25. *ἀκροθηνίων* D *ἀκρωτηρίων* C. 27. *ἀπεφήναντο* codd. corr. Wess. || *δ' ἐπ'*] *γὰρ ἐν* D.

